UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

Flavii Philostrati quae supersunt

Philostratus, Flavius

Turici, 1844

1.

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-5613

Visual Library

ΦΙΛΟΣΤΡΑΤΟΥ

ΒΙΟΙ ΣΟΦΙΣΤΩΝ.

Α΄.

Τὴν ἀρχαίαν σοφιστικὴν ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν· διαλέγεται μὲν γὰρ ὑπὲρ ὧν οἱ φιλοσοφοῦντες, ἃ δὲ ἐκεῖνοι τὰς ἐρωτήσεις ὑποκαθήμενοι καὶ τὰ σμικρὰ τῶν ζητουμένων προβιβάζοντες οὕπω φασὶ γιγνώσκειν, ταῦτα ὁ παλαιὸς σοφιστὴς ὡς εἰδὼς λέγει. προοίμια γοῦν ποιεῖται τῶν λόγων τὸ „οἶδα“ καὶ τὸ „γιγνώσκω“ καὶ „πάλαι διέσκεμμαι“ καὶ „βέβαιον ἀνθρώπῳ οὐδέν“. ἡ δέ τοιαύτη ἰδέα τῶν προοιμίων εὐγένειάν τε προηχεῖ τῶν λόγων καὶ φρόνημα καὶ κατάληψιν σαφῆ τοῦ ὄντος. ἥρμοσται δὲ ἡ μὲν τῇ ἀνθρωπίνῃ μαντικῇ, ἣν Αἰγύπτιοί τε καὶ Χαλδαῖοι καὶ πρὸ τούτων Ἰνδοὶ ξυνέθεσαν, μυρίοις ἀστέρων στοχαζόμενοι τοῦ ὄντος, ἡ δὲ τῇ θεσπιῳδῷ τε καὶ χρηστηριώδει· καὶ γὰρ δὴ καὶ τοῦ Πυθίου ἐστὶν ἀκούειν

481

„οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης“

καὶ

„τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς“

καὶ

„Νέρων Ὀρέστης Ἀλκμαίων μητροκτόνοι“

καὶ πολλὰ τοιαῦτα, ὥσπερ σοφιστοῦ, λέγοντος.

Ἡ μὲν δὴ ἀρχαία σοφιστικὴ καὶ τὰ φιλοσοφούμενα ὑποτιθεμένη διῄει αὐτὰ ἀποτάδην καὶ ἐς μῆκος, διελέγετο μὲν γὰρ περὶ ἀνδρίας, διελέγετο δὲ περὶ δικαιότητος, ἡρώων τε πέρι καὶ θεῶν καὶ ὅπη ἀπεσχημάτισται ἡ ἰδέα τοῦ κόσμου. ἡ δὲ μετ' ἐκείνην, ἣν οὐχὶ νέαν, ἀρχαία γάρ, δευτέραν δὲ μᾶλλον προσρητέον, τοὺς πένητας ὑπετυπώσατο καὶ τοὺς πλουσίους καὶ τοὺς ἀριστέας καὶ τοὺς τυράννους καὶ τὰς ἐς ὄνομα ὑποθέσεις, ἐφ' ἃς ἡ ἱστορία ἄγει. ἦρξε δὲ τῆς μὲν ἀρχαιοτέρας

Φλαυίου Φιλοστράτου βίοι σοφιστῶν est inscr. in R, f, b, c, d, g, π.

2. τῶν ζητουμένων προβιβάζοντες. f, ϱ, k. τῶν ζητουμένων προσβιβάζοντες. R, ν, β. τῷ ζητουμένῳ προσβιβάζοντες. 2, 3, E. 3. οὕτω. β. ib. προοίμια δὲ. Nic. Greg. ap. Synes. ed. Pet. 418. 4. τὸ οἶδα τὸ γιγνώσκω. φ. ib. τὸ πάλαι. Nic. Greg. ib. ὅτι vel ὡς βέβαιον. B. 6. ὄντος, ἔοικε δὲ τῇ θεσπεσιῳδῷ καὶ χρηστηριώδει μαντικῇ. Nic. Greg. 7. μυρίοις ἀστέρων R, π, b, c, d. μυρίοις. ϱ, k. μορίοις. ν, β, 2, p, φ, E. σημείοις. g. 8. θεσπιῴδει. μ. θεσπιῷ. ox, h, ψ, l. ib. καὶ γὰρ δὴ ἐκ. R, μ, E. καὶ γὰρ ἐκ. h, ψ, etiam g, cum lac. ib. ἐστὶν ἀκούειν. ϱ, k. ἐστιν ἀκούειν. R, f. ἀκούειν ἐστὶν 2, 3, E. 9. μετέωρα. β. 13. Νέρων καὶ Ὀρεστης καὶ Ἀλκμαίων. ν, β. Νέρων Ὀρέστης καὶ Ἀλκμαίων. g. 14. καὶ om. p.

15. αὐτὰ om. h. αὐτή. E. ib. ἀποτάδην καὶ om. p, (pr. m.) π, g. 16. διελέγετο μὲν περὶ. p. (pr. m.) π, g. ib. ἀνδρείας. β, ν, h, ψ. ib. δὲ καὶ. β. ib. ἡρώων τε καὶ θεῶν. π, g. 17. ἡ ἰδέα τοῦ λόγου. R. ib. ἡ δὴ ν. ib. ἐκείνην οὐχὶ νέαν. R, β, ν. ἐκείνην οὐχὶ νέα. f, ϱ, k. ἐκείνην ἣν οὐχὶ νέαν. 2, 3, E. 18. καὶ ἀριστέας. h.

1, p. 481. = 4. 5.

Γοργίας ὁ Λεοντῖνος ἐν Θετταλοῖς, τῆς δὲ δευτέρας Αἰσχίνης ὁ Ἀτρομήτου τῶν μὲν Ἀθήνησι πολιτικῶν ἐκπεσών, Καρίᾳ δὲ ἐνομιλήσας καὶ Ῥόδῳ, καὶ μετεχειρίζοντο τὰς ὑποθέσεις οἱ μὲν ἀπὸ Αἰσχίνου κατὰ τέχνην, οἱ δὲ ἀπὸ Γοργίου κατὰ τὸ δόξαν.

Σχεδίων δὲ πηγὰς λόγων οἱ μὲν ἐκ Περικλέους ῥυῆναι πρώτου φασίν, ὅθεν καὶ μέγας ὁ 482
Περικλῆς ἐνομίσθη τὴν γλῶτταν, οἱ δὲ ἀπὸ τοῦ Βυζαντίου Πύθωνος, ὃν Δημοσθένης μόνος
Ἀθηναίων ἀνασχεῖν φησι θρασυνόμενον καὶ πολὺν ῥέοντα, οἱ δὲ Αἰσχίνου φασὶ τὸ σχεδιάζειν εὕρημα, τοῦτον γὰρ πλεύσαντα ἐκ Ῥόδου παρὰ τὸν Κᾶρα Μαύσωλον σχεδίῳ αὐτὸν λόγῳ ἧσαι. ἐμοὶ δὲ πλεῖστα μὲν ἀνθρώπων Αἰσχίνης δοκεῖ σχεδιάσαι πρεσβεύων τε καὶ ἀποπρεσβεύων συνηγορῶν τε καὶ δημηγορῶν, καταλιπεῖν δὲ μόνους τοὺς συγγεγραμμένους τῶν λόγων, ἵνα τῶν Δημοσθένους φροντισμάτων μὴ πολλῷ λείποιτο, σχεδίου δὲ λόγου Γοργίας ἄρξαι — παρελθὼν γὰρ οὗτος εἰς τὸ Ἀθηναίων θέατρον ἐθάρρησεν εἰπεῖν „προβάλλετε“ καὶ τὸ κινδύνευμα τοῦτο πρῶτος ἀνεφθέγξατο, ἐνδεικνύμενος δήπου πάντα μὲν εἰδέναι, περὶ παντὸς δὲ ἂν εἰπεῖν ἐφιεὶς τῷ καιρῷ — τοῦτο δ' ἐπελθεῖν τῷ Γοργίᾳ διὰ τόδε· Προδίκῳ τῷ Κείῳ συνεγέγραπτό τις οὐκ ἀηδὴς λόγος· ἡ ἀρετὴ καὶ ἡ κακία φοιτῶσαι παρὰ τὸν Ἡρακλέα ἐν εἴδει γυναικῶν, ἐσταλμέναι ἡ μὲν ἀπατηλῷ τε καὶ ποικίλῳ, ἡ δὲ ὡς ἔτυχεν, καὶ προτείνουσαι τῷ Ἡρακλεῖ νέῳ ἔτι ἡ μὲν ἀργίαν καὶ τρυφήν, ἡ δὲ αὐχμὸν καὶ πόνους· καὶ τοῦ ἐπὶ πᾶσι διὰ πλειόνων συντεθέντος, τοῦ λόγου ἔμμισθον ἐπίδειξιν ἐποιεῖτο Πρόδικος περιφοιτῶν τὰ ἄστη καὶ θέλγων αὐτὰ τὸν Ὀρφέως 483
τε καὶ Θαμύρου τρόπον, ἐφ' οἷς μεγάλων μὲν ἠξιοῦτο παρὰ Θηβαίοις, πλειόνων δὲ παρὰ Λακεδαιμονίοις, ὡς ἐς τὸ συμφέρον τῶν νέων ἀναδιδάσκων ταῦτα· ὁ δὴ Γοργίας ἐπισκώπτων τὸν Πρόδικον, ὡς ἔωλά τε καὶ πολλάκις εἰρημένα ἀγορεύοντα, ἐπαφῆκεν ἑαυτὸν τῷ καιρῷ. οὐ μὴν φθόνου γε ἥμαρτεν· ἦν γάρ τις Χαιρεφῶν Ἀθήνησιν, οὐχ ὃν ἡ κωμῳδία πύξινον ἐκάλει, ἐκεῖνος μὲν γὰρ ὑπὸ φροντισμάτων ἐνόσει τὸ αἷμα, ὃν δὲ νυνὶ λέγω, ὕβριν ἤσκει καὶ ἀναιδῶς ἐτώθαζεν. οὗτος ὁ Χαιρεφῶν τὴν σπουδὴν τοῦ Γοργίου διαμασώμενος „διὰ τί“ ἔφη „ὦ Γοργία, οἱ κύαμοι τὴν μὲν γαστέρα φυσῶσι, τὸ δὲ πῦρ οὐ φυσῶσιν;“ ὁ δὲ οὐδὲν ταραχθεὶς ὑπὸ τοῦ ἐρωτήματος „τουτὶ μὲν“ ἔφη „σοὶ καταλείπω σκοπεῖν, ἐγὼ δὲ ἐκεῖνο πάλαι οἶδα, ὅτι ἡ γῆ τοὺς νάρθηκας ἐπὶ τοὺς τοιούτους φύει.“

Δεινότητα δὲ οἱ Ἀθηναῖοι περὶ τοὺς σοφιστὰς ὁρῶντες ἐξεῖργον αὐτοὺς τῶν δικαστηρίων, ὡς ἀδίκῳ λόγῳ τοῦ δικαίου κρατοῦντας καὶ ἰσχύοντας παρὰ τὸ εὐθύ, ὅθεν Αἰσχίνης καὶ Δημοσθένης προὔφερον μὲν αὐτὸ ἀλλήλοις, οὐχ ὡς ὄνειδος δέ, ἀλλὰ ὡς διαβεβλημένον τοῖς δικάζουσιν, ἰδίᾳ

1. Αἰσχύνης. h, ψ. (sic ubique). 2. ἀπὸ Αἰσχίνου οἱ μὲν κατὰ τέχνην. 1. κατὰ τὴν τέχνην οἱ μὲν ἀπὸ Αἰσχίνου. β, ν, 2, 3, E. Inde feci οἱ μὲν ἀπὸ Αἰσχίνου κατὰ τέχνην. 3. κατὰ δόξαν. ν.
4. ῥυῆναι πρώτου φασίν. f, ρ, k et f. mg: γρ. καὶ πρὸ τοῦ. πρώτου om. R. πρῶτον ῥυῆναι φασιν. ν, β. πρώτου ῥυῆναί φασιν. 2, 3, E. 5. ὑπὸ τοῦ. φ, π, g, b, c, d. 6. ἀνασχῆ φασί. β, ν. ib. πολὺ ῥέοντα. f, ρ, k, o. 7. ἐκ Ῥόδου R, f, ρ, k. ἐς Ῥόδον. ν, β, 2, 3, E. ib. περὶ τὸν Κάρα. ν, β, o, h, ψ, φ, π, g, b, c, d. ib. σχεδία αὐτὸν λόγον. ν. ib. ἧσαι. R, f. et ρ ante corr. ᾆσαι. ρ. sec. m. k, β, ν, 2, 3, E. 8. τε καὶ ἀποπρεσβεύων. om. f, 2 (l.) πρεσβεύων. δημηγορῶν. συνηγορῶν R. 9. μόνον τοὺς k. μόνα τὰ συγγεγραμμένα. ν, β. 10. λείποιτο et suprascr. λίποιντο. f. λείποιτο eliam π, g. λείποιντο. ρ. λίποιντο. k. λίποιτο. R, ν, β, 2, p, φ, E. ib. ἄρξαι, ὁ δὲ Γοργίας ἐς τὸ τῶν Ἀθηναίων θέατρον ἐπικόπτων Πρόδικον τὸν Κῖον ἔωλά τε deinde lacuna usque ad Εὔδοξος in ν, β. 12. πρῶτον. h, ψ, e. ib. ἐφθέγξατο. R. ib. δὲ ἂν. f. 13. τοῦ καιροῦ. R. ib. καὶ τόδε. R. ib. ἠροδίκῳ. k. ib. Κείῳ. R, f, μ, o. Κίῳ. ceteri C et e, m. 14. περὶ τὸν. h, φ, e, m. ib. γυναικῶν om. R, f. 16. τοῦ ἐπὶ πᾶσι. R. τὸ ἐπὶ πᾶσι. f, ρ, k, 2, 3, E. ib. συντιθέντος. h, ψ, φ, b, c, d, E. 17. θέλων. k. 18. Θαμύρου. R, f. Θαμύριδος. k, 2, 3, E. ib. παρ' Ἀθηναίοις. h, ψ. ib. παρὰ Λακεδαιμονίοις. R, f, k. παρὰ Λακεδαιμονίοις. ρ, suprasc. sec. m. ἐν Λακεδαίμονι. 2, 3, E. 19. ὡς ἐς τὸ. ρ. sec. m. ὡς ἐς τὸ. k, 2, 3, E. ἐς τὸ. R, f ib. ὁ δὴ. C. ὁ δὲ. E. ib. ἐπισκώπτων. R, k, μ, π, g, c, d. ἐπισκόπτων. f. ἐπικόπτον. h. ἐπικόπτων. p, φ, E. 20. ὡς ἔωλά τε. k (sic). ὡς δὴ ἔωλα. μ 21. ἐκάλεσε. R. 22. μὲν om. μ, h, ψ. ib. νυνὶ. f, k, o. νῦν. R, 2, 3, e, m. 23. Γοργία. h. ib. διαμασώμενος. R, ρ, k. καταμασώμενος. f. διαμασσώμενος. 2, 3, a, m, o. διαμασσόμενος. i, j. 24. μὲν om. f, ψ. ib. ἐρωτήσαντος. ρ, k. 25. πάλαι ἐκεῖνο. h.
27. δεινότατα. π, g. 28. τὸ ἐ..... R. 29. διαβεβλημένοι. h, ψ, ox, i, j, m, o.

1, p. 482. 483. = 5. 6.

γὰρ ἠξίουν ἀπ᾽ αὐτοῦ θαυμάζεσθαι, καὶ Δημοσθένης μέν, εἰ πιστέα Αἰσχίνῃ, πρὸς τοὺς γνωρίμους
484 ἐκόμπαζεν, ὡς τὴν τῶν δικαστῶν ψῆφον πρὸς τὸ δοκοῦν ἑαυτῷ μεταγαγών, Αἰσχίνης δὲ οὐκ ἄν μοι δοκεῖ πρεσβεῦσαι παρὰ Ῥοδίοις, ἃ μήπω ἐγίγνωσκον, εἰ μὴ καὶ Ἀθήνησιν αὐτὰ ἐσπουδάκει.

Σοφιστὰς δὲ οἱ παλαιοὶ ἐπωνόμαζον οὐ μόνον τῶν ῥητόρων τοὺς ὑπερφωνοῦντάς τε καὶ λαμπρούς, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς ξὺν εὐροίᾳ ἑρμηνεύοντας, ὑπὲρ ὧν ἀνάγκη προτέρων λέγειν, ἐπειδὴ οὐκ ὄντες σοφισταί, δοκοῦντες δὲ παρῆλθον ἐς τὴν ἐπωνυμίαν ταύτην.

α΄. Εὔδοξος μὲν γὰρ ὁ Κνίδιος τοὺς ἐν Ἀκαδημίᾳ λόγους ἱκανῶς ἐκφροντίσας ὅμως ἐνεγράφη τοῖς σοφισταῖς ἐπὶ τῷ κόσμῳ τῆς ἀπαγγελίας καὶ τῷ σχεδιάζειν εὖ, καὶ ἠξιοῦτο τῆς τῶν σοφιστῶν ἐπωνυμίας καθ᾽ Ἑλλήσποντον καὶ Προποντίδα κατά τε Μέμφιν καὶ τὴν ὑπὲρ Μέμφιν
10 Αἴγυπτον, ἣν Αἰθιοπία τε ὁρίζει καὶ τῶν ἐκείνῃ σοφῶν οἱ Γυμνοί.

485 β΄. Λέων δὲ ὁ Βυζάντιος νέος μὲν ὢν ἐφοίτα Πλάτωνι, ἐς δὲ ἄνδρας ἥκων σοφιστὴς προσερρήθη πολυειδῶς ἔχων τοῦ λόγου καὶ πιθανῶς τῶν ἀποκρίσεων. Φιλίππῳ μὲν γὰρ στρατεύοντι ἐπὶ Βυζαντίους προαπαντήσας „εἰπέ μοι, ὦ Φίλιππε," ἔφη „τί παθὼν πολέμου ἄρχεις;" τοῦ δὲ εἰπόντος „ἡ πατρὶς ἡ σὴ καλλίστη πόλεων οὖσα ὑπηγάγετό με ἐρᾶν αὐτῆς καὶ διὰ τοῦτο ἐπὶ θύρας
15 τῶν ἐμαυτοῦ παιδικῶν ἥκω" ὑπολαβὼν ὁ Λέων „οὐ φοιτῶσιν" ἔφη „μετὰ ξιφῶν ἐπὶ τὰς τῶν παιδικῶν θύρας οἱ ἄξιοι τοῦ ἀντερᾶσθαι, οὐ γὰρ πολεμικῶν ὀργάνων, ἀλλὰ μουσικῶν οἱ ἐρῶντες δέονται". καὶ ἠλευθέρου τὸ Βυζάντιον Δημοσθένους μὲν πολλὰ πρὸς Ἀθηναίους εἰπόντος, Λέοντος δὲ ὀλίγα πρὸς αὐτὸν Φίλιππον. καὶ πρεσβεύων δὲ παρ᾽ Ἀθηναίους οὗτος ὁ Λέων ἐστασίαζε μὲν πολὺν ἤδη χρόνον ἡ πόλις καὶ παρὰ τὰ ἤθη ἐπολιτεύετο, παρελθὼν δ᾽ ἐς τὴν ἐκκλησίαν προσέβαλεν
20 αὐτοῖς ἀθρόον γέλωτα ἐπὶ τῷ εἴδει, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα, ταραχθεὶς δὲ οὐδὲν ὑπὸ τοῦ γέλωτος „τί," ἔφη „ὦ Ἀθηναῖοι, γελᾶτε; ἢ ὅτι παχὺς ἐγὼ καὶ τοσοῦτος; ἔστι μοι καὶ γυνὴ πολλῷ παχυτέρα, καὶ ὁμονοοῦντας μὲν ἡμᾶς χωρεῖ ἡ κλίνη, διαφερομένους δὲ οὐδὲ ἡ οἰκία" καὶ ἐς ἓν ἦλθεν ὁ τῶν Ἀθηναίων δῆμος ἁρμοσθεὶς ὑπὸ τοῦ Λέοντος σοφῶς ἐπισχεδιάσαντος τῷ καιρῷ.

25 γ΄. Αἴας δὲ ὁ Ἐφέσιος τὸ μὲν πεῖσμα τῆς ἑαυτοῦ φιλοσοφίας ἐξ Ἀκαδημίας ἐβέβλητο, σοφιστὴς δὲ ἐνομίσθη διὰ τόδε· τὸν Φίλιππον ὁρῶν χαλεπὸν ὄντα τοῖς Ἕλλησιν ἐπὶ τὴν Ἀσίαν

α

1. παρ᾽ αὐτοῦ. π, g. ib. εἰ πιστέα Αἰσχ. R. εἰ πιστέα Αἰσχ. f. (sic). εἰ πειστέα Αἰσχ. k et p. mg. ἐπὶ τῷ Αἰσχ. 2, 3, E. 2. μεταγαγών. 1. μετάγων. 2, 3, E. 3. παρὰ τοῖς Ῥοδίοις. R. ib. ἐγίγνωσκον. Val. ἐγίγνωσκεν. C, E.

4. σοφιστὰς — ταύτην. Synes. Dio 36, c. ib. σοφιστὰς οἱ παλαιοὶ ὠνόμαζον. h. ib. τε om. f, k. 5. προτέρων. f, k, 2, φ, π, g, E. προτέρα. R (sic). πρότερον. p, b, c, d, Syn. 6. εἰπεῖν. Syn. ib. δόξαντες. Syn. ib. ταύτην om. h.

7. γὰρ om. R, ν, β, μ. 8. ἐπαγγελίας. f, k. 9. ὁμωνυμίας. R. ib. κατά γε M. b, c, d. 10. ἐκείνων σοφιστῶν. h.

11. τῷ Πλάτωνι. ν, β. 12. πιθανὸς. h. ib. στρατεύουσι. h, ψ. 13. τί μαθὼν. f. 14. εἰπόντος· ἡ τε πατρὶς. R. εἰπόντος ὡς ἡ πατρὶς. f, ρ, k, ν, β, 2, 3, E. Scr. εἰπόντος· ἡ πατρὶς. 15. τῶν om. h, ψ, c, d, m, o. τῶν ἐμῶν π. Arsen. ed. W. 341. 16. πολεμίων. g. 17. ἠλευθεροῦτο τὸ B. k, μ. ἐλευθεροῦτο τὸ B. p (sic). ib. Δημοσθένης. h, ψ. ib. πρὸς τοὺς Ἀθηναίους. b. 18. παρ᾽ Ἀθηναίους. ν, β, h, ψ, ve, pe, παρ᾽ Ἀθηναίοις f, ρ, k, μ, ox, b, c, d, 3, E. παρ᾽ Ἀθηναίοις εἰπόντος. k. ib. οὗτος ὁ Λέων. R. ὁ Λέων οὗτος ς. 19. γὰρ πολύν. β. ib. παρὰ ἤθη. μ. ib. καὶ παρελθὼν εἰς. ν, β. ib. προσέβαλλεν. f. 20. Σ. ν. Λέων. οὗτος ἦν σφόδρα παχύς. καὶ πρεσβεύσας πρὸς Ἀθηναίους γέλωτα ἐκίνησε καὶ πρεσβείας ἐκράτησεν, ἐπειδὴ πίων ἐφαίνετο καὶ περιττὸς τὴν γαστέρα, ταραχθεὶς — τῷ καιρῷ. ib. ἐπεὶ πίων. ν, β. ib. τὴν γαστέρα περιττός. R. 21. τοιοῦτος. ψ, Σ praeter A, E, V. 22. καὶ ante γυνὴ om. g. ib. οὐδ᾽ οἰκία. v. correctum in οὐδ᾽ ἠκία. οὐδὲν, οὐδὲ ἡ οἰκία. h. 23. σαφῶς. R. σοφῶς — καιρῷ om. ψ.

26. διὰ τοῦτο. g.

1, 1, 2, 3. p. 484. 485. = 6. 7. 8.

στρατεύειν ἔπεισε, καὶ πρὸς τοὺς Ἕλληνας διεξῆλθε λέγων, ὡς δέον ἀκολουθεῖν στρατεύοντι, 486
καλὸν γὰρ εἶναι καὶ τὸ ἔξω δουλεύειν ἐπὶ τῷ οἴκοι ἐλευθεροῦσθαι.

δ'. Καὶ Καρνεάδης δὲ ὁ Ἀθηναῖος ἐν σοφισταῖς ἐγράφετο, φιλοσόφως μὲν γὰρ κατεσκεύαστο τὴν γνώμην, τὴν δὲ ἰσχὺν τῶν λόγων ἐς τὴν ἄγαν ἤλαυνε δεινότητα.

ε'. Οἶδα καὶ Φιλόστρατον τὸν Αἰγύπτιον Κλεοπάτρᾳ μὲν συμφιλοσοφοῦντα τῇ βασιλίδι, 5
σοφιστὴν δὲ προσρηθέντα, ἐπειδὴ λόγου ἰδέαν πανηγυρικὴν ἥρμοστο καὶ ποικίλην, γυναικὶ ξυνών, ᾗ καὶ αὐτὸ τὸ φιλολογεῖν τρυφὴν εἶχεν, ὅθεν καὶ παρῴδουν τινὲς ἐπ' αὐτῷ τόδε τὸ ἐλεγεῖον·

πανσόφου ὀργὴν ἴσχε Φιλοστράτου, ὃς Κλεοπάτρᾳ
νῦν προσομιλήσας τοῖος ἰδεῖν πέφαται. 10

ς'. Καὶ Θεόμνηστον δὲ τὸν Ναυκρατίτην ἐπιδήλως φιλοσοφήσαντα ἡ περιβολὴ τῶν λόγων ἐς τοὺς σοφιστὰς ἀπήνεγκεν.

ζ'. Δίωνα δὲ τὸν Προυσαῆον οὐκ οἶδ' ὅ τι χρὴ προσειπεῖν διὰ τὴν ἐς πάντα ἀρετήν, Ἀμαλ- 487
θείας γὰρ κέρας ἦν, τὸ τοῦ λόγου, ξυγκείμενος μὲν τῶν ἄριστα εἰρημένων τοῦ ἀρίστου, βλέπων δὲ πρὸς τὴν Δημοσθένους ἠχὼ καὶ Πλάτωνος, ᾗ, καθάπερ αἱ μαγάδες τοῖς ὀργάνοις, 15
προσηχεῖ ὁ Δίων τὸ ἑαυτοῦ ἴδιον ξὺν ἀφελείᾳ ἐπεστραμμένῃ. ἀρίστη δὲ ἐν τοῖς Δίωνος λόγοις καὶ ἡ τοῦ ἤθους κρᾶσις· ὑβριζούσαις τε γὰρ πόλεσι πλεῖστα ἐπιπλήξας οὐ φιλολοίδορος, οὐδὲ ἀηδὴς ἔδοξεν, ἀλλ' οἷον ἵππων ὕβριν χαλινῷ καταρτύων μᾶλλον ἢ μάστιγι, πόλεών τε εὐνομουμένων ἐς ἐπαίνους καταστὰς οὐκ ἐπαίρειν αὐτὰς ἔδοξεν, ἀλλ' ἐπιστρέφειν μᾶλλον ὡς ἀπολουμένας, εἰ μεταβάλοιντο. ἦν δὲ αὐτῷ καὶ τὸ τῆς ἄλλης φιλοσοφίας ἦθος οὐ κοινὸν οὐδὲ εἰρωνικόν, ἀλλὰ 20
ἐμβριθῶς μὲν ἐγκείμενον, κεχρωσμένον δέ, οἷον ἡδύσματι, τῇ πραότητι. ὡς δὲ καὶ ἱστορίαν ἱκανὸς ἦν ξυγγράφειν, δηλοῖ τὰ Γετικά, καὶ γὰρ δὴ καὶ ἐς Γέτας ἦλθεν, ὁπότε ἠλᾶτο. τὸν δὲ Εὐβοέα καὶ τὸν τοῦ ψιττακοῦ ἔπαινον καὶ ὁπόσα οὐχ ὑπὲρ μεγάλων ἐσπούδασται τῷ Δίωνι, μὴ μικρὰ ἡγώμεθα, ἀλλὰ σοφιστικά, σοφιστοῦ γὰρ τὸ καὶ ὑπὲρ τοιούτων σπουδάζειν. 11

Γενόμενος δὲ κατὰ τοὺς χρόνους, οὓς Ἀπολλώνιός τε ὁ Τυανεὺς καὶ Εὐφράτης ὁ Τύριος 25 488

1. ἐποίησεν. R, v, f. Scr. ἔπεισεν. ib. λέγων. l. λόγον. 2, 3, E. ib. δέον. C, E. Fo: δέοι. 2. καὶ om. R. ib. δουλεύειν ἐποίησε. h, ψ.
3. καὶ Καρνεσαδὲ. R. καὶ om. b, c, d. καὶ Κ. μὲν ὁ Ἀθ. σ. ἐγράφετο. g. δὲ om. ψ. ἐγέγραπτο. μ. ὁ. om. o. ib. φιλόσοφος. R, k. ib. γὰρ om c, h.
5. συμφιλοσοφοῦντα. r, f. συμφιλοσοφήσαντα. β, v, 2, 3, E. 6. λόγου ἰδέαν πανηγυρικὴν ἥρμοστο. ρ, k, 2, 3, E. ἥρμοστο λόγου ἰδέαν πανηγυρικήν. v, β. λόγου ἰδέαν πανηγυρικὴν καὶ ποικίλην ἤσκει. R. ib. γυναιξὶ ξυνών. h, ψ, p (ante corr.), φ, e, m (corr. a B.). 7. ᾗ. g. ἣ. 1, 2, p, φ, π, o. ἧ. e, m. ib. αὐτή. v, β. ib. αὐτὸς. e, m. ib. τοῦτο. h. 9. ἴσχε. ρ, k, v, β, 2, 3, o. ἔσχε. R, r, f, e, m (in mg). ib. Κλεοπέτρᾳ. h. 10. πέφανται. R, r, f, ρ, v, β, μ, ox, h, π, g, b, c, d. πέφατε. ψ. πέφανται k (sic). πέφανται p, l, e. πέφαται. φ. corr. al. m. ἐφάνη. m, o.
11. καὶ om. R. ib. δὲ om. b, c, d. ib. Θεόμνηστον om. g. 12. ἀπήνεγκεν. r, f, φ. ἐπήνεγκε. ρ, k.
13. Δίωνα. h. 14. ξυγκείμενον. 2. ib. τοῦ ἀρίστου. R. τοῖς ἀρίστοις ς. 15. ᾗ καθάπερ. R, e, m. ἧ καθ. μ. 16. ὠφελείᾳ. h. ἀσφαλείᾳ. ψ. ib. λόγοις ἡ. β, v, g. 18. ἔδειξεν. r (sic). ib. ὕβριν ἵππων. μ. ib. καταρτύνων. E. ib. εὐνοουμένων. h, ψ. 19. αὐτοὺς. h, ψ. 20. μεταβάλλοιντο. ψ, π, b. ib. αὐτοῦ. R. ib. ἄλλης φιλ. εἶδος R. ib. οὐ om. ψ. ib. κοινωνικόν. v, β. ib. εἰρωνίζον, καὶ ἐμβριθῶς E. 22. ἱκανῶς. g. ib. ξυγγράφειν. f, b. ib. δηλοῦσι. R. 23. τοῦ Δίωνος. R. 24. ἡγούμεθα. h, ψ. ib. σοφιστοῦ τε γὰρ καὶ. R. ib. καὶ om. g. ib. ὑπὲρ τῶν τοιούτων. v, β. ib. γράφειν. R.
25. κατὰ τοὺς χρόνους. k, p. κατὰ χρόνους. 1 praeter k, 2, 3 (praeter p,) E. ib. ὁ Ἀπ. β.

1, 4, 5, 6, 7. p. 486. 487. 488. = 8. 9. 10. §. 1, 2.

ἐφιλοσόφουν, ἀμφοτέροις ἐπιτηδείως εἶχε· καίτοι διαφερομένοις προς ἀλλήλους ἔξω τοῦ φιλοσοφίας ἤθους. τὴν δὲ ἐς τὰ Γετικὰ ἔθνη πάροδον τοῦ ἀνδρὸς φυγὴν μὲν οὐκ ἀξιῶ ὀνομάζειν, ἐπεὶ μὴ προσετάχθη αὐτῷ φυγεῖν, οὐδὲ ἀποδημίαν, ἐπειδὴ τοῦ φανεροῦ ἐξέστη κλέπτων ἑαυτὸν ὀφθαλμῶν τε καὶ ὤτων καὶ ἄλλα ἐν ἄλλῃ γῇ πράττων δέει τῶν κατὰ τὴν πόλιν τυραννίδων, ὑφ' ὧν ἠλαύνετο φιλοσοφία πᾶσα. φυτεύων δὲ καὶ σκάπτων καὶ ἐπαντλῶν βαλανείοις τε καὶ κήποις καὶ πολλὰ τοιαῦτα ὑπὲρ τροφῆς ἐργαζόμενος οὐδὲ τοῦ σπουδάζειν ἠμέλει, ἀλλ' ἀπὸ δυοῖν βιβλίοιν ἑαυτὸν ξυνεῖχεν· ταυτὶ δὲ ἦν ὅ τε Φαίδων ὁ τοῦ Πλάτωνος καὶ Δημοσθένους ὁ κατὰ τῆς πρεσβείας. θαμίζων δὲ ἐς τὰ στρατόπεδα, ἐν οἷσπερ εἰώθει τρύχεσθαι, καὶ τοὺς στρατιώτας ὁρῶν ἐς νεώτερα ὁρμῶντας ἐπὶ Δομετιανῷ ἀπεσφαγμένῳ οὐκ ἐφείσατο ἀταξίαν ἰδὼν ἐκραγεῖσαν, ἀλλὰ γυμνὸς ἀναπηδήσας ἐπὶ βωμὸν ὑψηλὸν ἤρξατο τοῦ λόγου ὧδε·

„αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς,"

καὶ εἰπὼν ταῦτα καὶ δηλώσας ἑαυτόν, ὅτι μὴ πτωχός, μηδὲ ὃν ᾤοντο, Δίων δὲ εἴη ὁ σοφός, ἐπὶ μὲν τὴν κατηγορίαν τοῦ τυράννου πολὺς ἔπνευσεν, τοὺς δὲ στρατιώτας ἐδίδαξεν ἀμείνω φρονεῖν τὰ δοκοῦντα Ῥωμαίοις πράττοντας. καὶ γὰρ ἡ πειθὼ τοῦ ἀνδρὸς οἵα καταθέλξαι καὶ τοὺς μὴ τὰ Ἑλλήνων ἀκριβοῦντας· Τραιανὸς γοῦν ὁ αὐτοκράτωρ ἀναθέμενος αὐτὸν ἐπὶ τῆς Ῥώμης ἐς τὴν χρυσῆν ἅμαξαν, ἐφ' ἧς οἱ βασιλεῖς τὰς ἐκ τῶν πολέμων πομπὰς πομπεύουσιν, ἔλεγε θαμὰ ἐπιστρεφόμενος ἐς τὸν Δίωνα „τί μὲν λέγεις, οὐκ οἶδα, φιλῶ δέ σε ὡς ἐμαυτόν."

Σοφιστικώτατοι δὲ τοῦ Δίωνος αἱ τῶν λόγων εἰκόνες, ἐν αἷς εἰ καὶ πολύς, ἀλλὰ καὶ ἐναργὴς καὶ τοῖς ὑποκειμένοις ὅμοιος.

489 ἡ. Ὁμοίως καὶ Φαβωρῖνον τὸν φιλόσοφον ἡ εὐγλωττία ἐν σοφισταῖς ἐκήρυττεν. ἦν μὲν γὰρ τῶν ἑσπερίων Γαλατῶν οὗτος, Ἀρελάτου πόλεως, ἣ ἐπὶ Ἠριδανῷ ποταμῷ ᾤκισται, διφυὴς δὲ ἐτέχθη καὶ ἀνδρόθηλυς, καὶ τοῦτο ἐδηλοῦτο μὲν καὶ παρὰ τοῦ εἴδους, ἀγενείως γὰρ τοῦ προσώπου καὶ γηράσκων εἶχεν, ἐδηλοῦτο δὲ καὶ τῷ φθέγματι, ὀξυηχὲς γὰρ ἠκούετο καὶ λεπτὸν καὶ ἐπίτονον, ὥσπερ ἡ φύσις τοὺς εὐνούχους ἥρμοκεν. θερμὸς δὲ οὕτω τις ἦν τὰ ἐρωτικά, ὡς καὶ μοιχοῦ λαβεῖν
11 αἰτίαν ἐξ ἀνδρὸς ὑπάτου. διαφορᾶς δὲ αὐτῷ πρὸς Ἀδριανὸν βασιλέα γενομένης οὐδὲν ἔπαθεν. ὅθεν ὡς παράδοξα ἐπεχρησμῴδει τῷ ἑαυτοῦ βίῳ τρία ταῦτα· Γαλάτης ὢν ἑλληνίζειν, εὐνοῦχος ὢν μοιχείας κρίνεσθαι, βασιλεῖ διαφέρεσθαι καὶ ζῆν. τουτὶ δὲ Ἀδριανοῦ ἔπαινος εἴη ἂν μᾶλλον, εἰ βασιλεὺς ὢν ἀπὸ τοῦ ἴσου διεφέρετο πρὸς ὃν ἐξῆν ἀποκτεῖναι. βασιλεὺς δὲ κρείττων,

1. ἀμφοτέροις ἐπιτηδείως εἶχε. R, r, f, β, v. ἀμφοτέροις μὲν ἐπιτηδείως εἶχε. ρ. particula a sec. m. supra scr. ἀμφ. μὲν ἐπιτηδ. εἶχε. k, 2, 3, E. ib. πρὸς om. R. 2. τὰ Γετικὰ. C. Γετικὰ E. ib. ἔθη. R. ib. οὐκ ἀπαξιῶ, ἐπειδὴ προσετάχθη. r, ρ, k, et f. ubi corr. in mg. οὐκ ἀξιοῦν, ἐπεὶ οὐ προσετάχθη. R. 3. αὐτοῦ φυγή, οὐδὲ ἀποδημία. R. 4. καὶ ἄλλα — πράττων om. R. ib. κατὰ τὴν πόλιν. R, β, v. κατὰ τὴν Ῥώμην. r, f, ρ, k, et p ex corr. Ῥωμαίων. 2, 3, E. ib. τυραννίδα. h, ψ, φ. E. 5. βαλανείοις τε. r, f, ρ, k. βαλανείοις. β, v, 2, 3, E. ib. πολλάκις. k. 6. τρυφῆς. h, ψ. ib. ἀλλὰ δυοῖν. R. ib. βιβλίων. ψ, E. 7. Δημοσθένης. R, g, h, ψ, E. 8. ἐς τὰ στρατόπεδα. v, β. ἑστρατόπαιδα. r. ἑστρατοπεδα. f. ἐς στρατόπεδον. b, c, d, ox. ἐς στρατόπεδα. ς. 13. ἀμείνω. R. ἄμεινον. ς. 14. καὶ γὰρ ἡ. r, f. καὶ γὰρ καὶ ἡ. R, ρ, k, v, β, 2, 3, E. ib. οἷα. E. ib. μὴ τῶν. β, v. 15. Τρ. γ' οὖν. r. ib. ὁ αὐτοκράτωρ R et p ex corr. αὐτοκράτωρ. ς. ib. ἐς τὴν χρυσῆν ἅμαξαν ἐπὶ τῆς Ῥώμης. R. 16. τοῖς ἐκ. π, g. ib. πόλεων. R. ib. θαμινὰ k. 17. ἐς τὸν Δ. r, f, ve. πρὸς τὸν Δ. ς. ib. Δίωνος. h. ib. τί με. π,

α

18. δὲ om. R. ib. καὶ πολλοῖς. R. ib. ἐναργής. 1 (ἐνεργὴς. r), p, ubi καὶ in ordine omissum habet margo. ἐνεργής. h, ψ, φ, π, g, b, c, d, e. ἐναργός. μ. ἐνεργὸς. ox. 19. ὑποκειμένοις. 1, p, φ, E. κειμένοις. 2. συγκειμένοις. π, g, b, c, d. ib. ὅμοιαι. R.

20. ὁμοίως καὶ. 1. καὶ. 2, 3, E. ib. Φαβουρῖνον. R, r. sic ubique. ib. τὸν σοφὸν. f. ib. εὐγλωττία om. artic. R, r, f, v, β, non ρ, k. 21. Ἀρελάτου — ᾤκισται om. R et r. pr. m. ib. ἐπὶ ῥιδανῷ. r. ἐπὶ Ἠριδανῷ. f, ρ, k. ἐπ' Ἠριδανῷ. v, β, 2, 3, e, m. ἐπὶ Ῥοδανῷ. o ut voluere Salm. Casaub. Huet. 24. ἥρμοκεν. r, f. ib. οὕτως τις. R. οὕτω τι o ex ve. ib. καὶ ὡς. h. 25. Ἀνδριανὸν. k, h. ib. γενόμενος. μ. 26. ὅθεν καί. g. ib. παράδοξον. R. ib. βιβλίῳ. k. 27. τουτὶ δὲ. 1 et p ex corr. τοῦ δὲ. 2, 3, E. ib. εἴη ἄν 1. ἂν εἴη. ve, β, v, 2, 3, E. 28. ἀπὸ τοῦ ἴσου διεφέρετο. 1. διεφέρετο ἀπὸ τοῦ ἴσου. 2, 3, E.

1, 7. 8. §. 1, 2. p. 489. = 10. 11.

„ὅτε χώσεται ἀνδρὶ χέρηι,“

ἦν ὀργῆς κρατῇ, καὶ

„θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων“

ἦν λογισμῷ κολάζηται. βέλτιον δὲ ταῦτα ταῖς τῶν ποιητῶν δόξαις προσγράφειν τοὺς εὖ τιθεμένους τὰ τῶν βασιλέων ἤθη.

Ἀρχιερεὺς δὲ ἀναρρηθεὶς ἐς τὰ οἴκοι πάτρια ἐφῆκε μὲν κατὰ τοὺς ὑπὲρ τῶν τοιούτων νόμους, 490
ὡς ἀφειμένος τοῦ λειτουργεῖν, ἐπειδὴ ἐφιλοσόφει, τὸν δὲ αὐτοκράτορα ὁρῶν ἐναντίαν ἑαυτῷ θέσθαι διανοούμενον, ὡς μὴ φιλοσοφοῦντι, ὑπετέμετο αὐτὸν ὧδε· „ἐνύπνιόν μοι,“ ἔφη „ὦ βασιλεῦ, γέγονεν, ὃ καὶ πρὸς σὲ χρὴ εἰρῆσθαι· ἐπιστὰς γάρ μοι Δίων ὁ διδάσκαλος ἐνουθέτει με ὑπὲρ τῆς δίκης λέγων, ὅτι μὴ ἑαυτοῖς μόνον, ἀλλὰ καὶ ταῖς πατρίσι γεγόναμεν· ὑποδέχομαι δή, ὦ βασιλεῦ, τὴν λειτουργίαν καὶ τῷ διδασκάλῳ πείθομαι.“ ταῦτα ὁ μὲν αὐτοκράτωρ διατριβὴν ἐπεποίητο, καὶ διῆγε τὰς βασιλείους φροντίδας ἀπονεύων ἐς σοφιστάς τε καὶ φιλοσόφους, Ἀθηναίοις δὲ δεινὰ 111
ἐφαίνετο καὶ συνδραμόντες αὐτοὶ μάλιστα οἱ ἐν τέλει Ἀθηναῖοι χαλκῆν εἰκόνα κατέβαλον τοῦ ἀνδρὸς ὡς πολεμιωτάτου τῷ αὐτοκράτορι· ὁ δέ, ὡς ἤκουσεν, οὐδὲν σχετλιάσας οὐδὲ ἀγριάνας ὑπὲρ ὧν ὕβριστο „ὤνητ' ἄν“ ἔφη „καὶ Σωκράτης εἰκόνα χαλκῆν ὑπ' Ἀθηναίων ἀφαιρεθεὶς μᾶλλον ἢ πιὼν κώνειον.“

Ἐπιτηδειότατος μὲν οὖν Ἡρώδῃ τῷ σοφιστῇ ἐγένετο διδάσκαλόν τε ἡγουμένῳ καὶ πατέρα καὶ πρὸς αὐτὸν γράφοντι „πότε σε ἴδω καὶ πότε σου περιλείξω τὸ στόμα;“ ὅθεν καὶ τελευτῶν κληρονόμον Ἡρώδην ἀπέφηνε τῶν τε βιβλίων, ὁπόσα ἐκέκτητο, καὶ τῆς ἐπὶ τῇ Ῥώμῃ οἰκίας καὶ τοῦ Αὐτοληκύθου. ἦν δὲ οὗτος Ἰνδὸς μὲν καὶ ἱκανῶς μέλας, ἄθυρμα δὲ Ἡρώδου τε καὶ Φαβωρίνου, ξυμπίνοντας γὰρ αὐτοὺς διῆγεν ἐγκαταμιγνὺς Ἰνδικοῖς Ἀττικὰ καὶ πεπλανημένῃ τῇ γλώττῃ βαρβαρίζων.

Ἡ δὲ γενομένη πρὸς τὸν Πολέμωνα τῷ Φαβωρίνῳ διαφορὰ ἤρξατο μὲν ἐν Ἰωνίᾳ προσθεμένων αὐτῷ τῶν Ἐφεσίων, ἐπεὶ τὸν Πολέμωνα ἡ Σμύρνα ἐθαύμαζεν, ἐπέδωκε δὲ ἐν τῇ Ῥώμῃ, ὕπατοι γὰρ καὶ παῖδες ὑπάτων οἱ μὲν τὸν ἐπαινοῦντες, οἱ δὲ τόν, ἦρξαν αὐτοῖς φιλοτιμίας, ἣ πολὺν ἐκκαίει φθόνον καὶ σοφοῖς ἀνδράσιν. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας, τῆς ἀνθρωπείας φύσεως 491
τὸ φιλότιμον ἀγήρω ἡγουμένης, μεμπτέοι δὲ τῶν λόγων, οὓς ἐπ' ἀλλήλους ξυνέθεσαν. ἀσελγὴς γαρ λοιδορία, κἂν ἀληθὴς τύχῃ, οὐκ ἀφίησιν αἰσχύνης οὐδὲ τὸν ὑπὲρ τοιούτων εἰπόντα. τοῖς μὲν

2. κρατέῃ. r. 3. βασιλῆων. f. (sic.) διοτρεφέος βασιλῆος. β, v. 4. ἦν λογισμῷ. 1. ἦν μὴ λογισμῷ. 2, 3, E. ib. βέλτιον δὲ. 1. βέλτιον γὰρ. 2, 3, E. ib. προγράφειν. R. ib. τοὺς εὖ τιθεμένους. 1 et p ex corr. τῶν εὖ τιθεμένων. 2, 3, E.

6. ὡς τὰ οἴκοι. R, r, f, β, v. εἰς τὰ οἴκοι. p, h. ἐς τ. ὁ. ς. 7. ἑαυτῷ. R. αὐτῷ cett. C (praeter μ, qui om. pronomen,) et E. 8. ὦ βασιλεῦ ἔφη. f, ρ, k. 9. ἐνουθέτει μὲν. ox. h, l. ib. ὑπὸ τῆς. f, β, v. 10. μόνοιν. h. ib. τοῖς πατρίσι. φ, (in mg. ταῖς) i. ib. ὑποδέχομαι δὲ. k, E. 11. τοῖς διδασκάλοις β. idem, superscr. τῷ διδασκάλῳ. v. ib. πεποίητο. R. 12. διῆγεν. r, f. ib. ἀπονεύων σοφιστὰς καὶ φιλ. R. ib. δεινὰ k (sic). δεινὸς. β, v. Atheniensibus cum gravis videretur. Bonf. Inde δεινὸς. o. 13. δραμόντες. π. 14. οἱ δὲ ὡς. k. ib. ὡς ἤκουσεν om. R. ib. σχεταλάσας. f. ib. οὐδεν ἀγρ. β. 15. ὤναιτ' ἄν. v. ὦνατ' ἄν. β. ὄναιτ' ἄν. p, g. ib. μᾶλλον om. R, π, g. 16. κώνιον. r.

17. Ἡρώδης. e, m. ib. διδάσκαλον — στόμα. om. R. β, v. ib. διδάσκαλον ἡγούμενος. K. 18. πότε σε εἴδω. r, f, ρ, k. ποῦ σε εἴδω. 2, 3, e. 19. ἀπέφαινε. f, k. ib. τῶν βιβλίων. R. ib. ὁπόσα ἐκέκτητο. r, f, ρ et p sec. m. ὅσα ἐκέκτητο. k. om. haec R, v, β, 2, 3, E. ib. τῆς ἐπὶ τῇ Ῥώμῃ r, f, ρ. τῆς ἐπὶ Ῥ. R, v, β, 2, 3, E. τῆς αὐτῆς ἐπὶ τῇ Ῥ. k. 20. μὲν om. 1. Ἰνδὸς μέγας καὶ. h. ib. Ἡρώδου καὶ Φαβ· μ.

23. τῷ Φ. — ἐπεὶ τὸν Πολέμωνα om. R. r, et v etiam usque ad ἐθαύμαζεν. 24. ἐθαύμασεν. R. ib. δὴ ἐν. v. δ' ἐν. m, o. 25. παῖδες ὕπατοι. h. ib. ἦρξεν αὐτοὶ. R. 26. ἐκχέει. v, β. ἡ πολὺν ἐκκαίει om. R, r, k. ib. φθόνον καὶ σοφοῖς ἀνδράσι. ρ, v, β, p ex corr. Haec omissa in R, r, k, φ. καὶ σοφοῖς ἀνδράσι τὸν πόλεμον. f, 2, 3, E. ib. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας om. R, r. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας, τῆς ἀνθρωπείας φύσεως τὸ φιλότιμον ἀγήρων ἡγουμένης. v, β, p ex corr. τῆς ἀνθρωπείας φύσεως τὸ φιλότιμον ἄγηρων ἡγουμένης. συγγνωστοὶ μὲν οὖν τῆς φιλοτιμίας. f, ρ, k, 2, 3, E. 27. ἀγήρω. R. ἀγήρων. ς. ib. μεμπτέοι. r, f, ρ, v, β. μεμπτέον. R, k. μεμπτοὶ. 2, 3, E. ib. ἐπ' ἀλλήλους. R, k. ἐπ' ἀλλήλοις. ς. 28. οὐδὲ τὸν αὐτὸν. k.

1, 8. §. 3. p. 490. 491. = 11. 12.

οὖν σοφιστὴν τὸν Φαβωρῖνον καλοῦσιν ἀπέχρη ἐς ἀπόδειξιν καὶ αὐτὸ τὸ διενεχθῆναι αὐτὸν σοφιστῇ, τὸ γὰρ φιλότιμον, οὗ ἐμνήσθην, ἐπὶ τοὺς ἀντιτέχνους φοιτᾷ.

IV Ἥρμοσται δὲ τὴν γλῶτταν ἀνειμένως μέν, σοφῶς δὲ καὶ ποτίμως. ἐλέγετο δὲ σὺν εὐροίᾳ σχεδιάσαι. τὰ μὲν δὴ ἐς Πρόξενον μήτ' ἂν ἐνθυμηθῆναι τὸν Φαβωρῖνον ἡγώμεθα μήτ' ἂν ξυνθεῖναι, ἀλλ' εἶναι αὐτὰ μειρακίου φρόντισμα μεθύοντος, μᾶλλον δὲ ἐμοῦντος, τὸν δὲ ἐπὶ τῷ λήρῳ καὶ τὸν ὑπὲρ τῶν μονομάχων καὶ τὸν ὑπὲρ τῶν βαλανείων γνησίους τε ἀποφαινόμεθα καὶ εὖ ξυγκειμένους, καὶ πολλῷ μᾶλλον τοὺς φιλοσοφουμένους αὐτῷ τῶν λόγων, ὧν ἄριστοι οἱ Πυρρώνειοι· τοὺς γὰρ Πυρρωνείους ἐφεκτικοὺς ὄντας οὐκ ἀφαιρεῖται καὶ τὸ δικάζειν δύνασθαι.

Διαλεγομένου δὲ αὐτοῦ κατὰ τὴν Ῥώμην μεστα ἦν σπουδῆς πάντα, καὶ γὰρ δὴ καὶ ὅσοι τῆς Ἑλλήνων φωνῆς ἀξύνετοι ἦσαν, οὐδὲ τούτοις ἀφ' ἡδονῆς ἡ ἀκρόασις ἦν, ἀλλὰ κἀκείνους ἔθελγε τῇ τε ἠχῇ τοῦ φθέγματος καὶ τῷ σημαίνοντι τοῦ βλέμματος καὶ τῷ ῥυθμῷ τῆς γλώττης. ἔθελγε δὲ αὐτοὺς τοῦ λόγου καὶ τὸ ἐπὶ πᾶσιν, ὃ ἐκεῖνοι μὲν ᾠδὴν ἐκάλουν, ἐγὼ δὲ φιλοτιμίαν, ἐπειδὴ τοῖς ἀποδεδειγμένοις ἐφυμνεῖται. Δίωνος μὲν οὖν ἀκοῦσαι λέγεται, τοσοῦτον δὲ ἀφέστηκεν, ὅσον οἱ μὴ ἀκούσαντες.

492 Τοσαῦτα μὲν ὑπὲρ τῶν φιλοσοφησάντων ἐν δόξῃ τοῦ σοφιστεῦσαι. οἱ δὲ κυρίως προσρηθέντες σοφισταὶ ἐγένοντο οἵδε·

Θ'. Σικελία Γοργίαν ἐν Λεοντίνοις ἤνεγκεν, ἐς ὃν ἀναφέρειν ἡγώμεθα τὴν τῶν σοφιστῶν τέχνην, ὥσπερ ἐς πατέρα· εἰ γὰρ τὸν Αἰσχύλον ἐνθυμηθείημεν, ὡς πολλὰ τῇ τραγῳδίᾳ ξυνεβάλετο ἐσθῆτί τε αὐτὴν κατασκευάσας καὶ ὀκρίβαντι ὑψηλῷ καὶ ἡρώων εἴδεσιν ἀγγέλοις τε καὶ ἐξαγγέλοις καὶ οἷς ἐπὶ σκηνῆς τε καὶ ὑπὸ σκηνῆς χρὴ πράττειν, τοῦτο ἂν εἴη καὶ ὁ Γοργίας τοῖς ὁμοτέχνοις. ὁρμῆς τε γὰς τοῖς σοφισταῖς ἦρξε καὶ παραδοξολογίας καὶ πνεύματος καὶ τοῦ τὰ μεγάλα μεγάλως ἑρμηνεύειν, ἀποστάσεών τε καὶ προσβολῶν, ὑφ' ὧν ὁ λόγος ἡδίων ἑαυτοῦ γίγνεται καὶ σοβαρώτερος, περιεβάλλετο δὲ καὶ ποιητικὰ ὀνόματα ὑπὲρ κόσμου καὶ σεμνότητος. πῶς μὲν οὖν καὶ ῥᾷστα ἀπεσχεδίαζεν, εἴρηταί μοι κατὰ ἀρχὰς τοῦ λόγου. διαλεχθεὶς δὲ Ἀθήνησιν ἤδη γηράσκων εἰ μὲν ὑπὸ τῶν πολλῶν ἐθαυμάσθη, οὔπω θαῦμα, ὁ δέ, οἶμαι, καὶ τοὺς ἐλλογιμωτάτους ἀνηρτήσατο,

493 Κριτίαν μὲν καὶ Ἀλκιβιάδην νέω ὄντε, Θουκυδίδην δὲ καὶ Περικλέα ἤδη γηράσκοντε. καὶ Ἀγάθων

1. ἀπέχρη. r, f. ἀποχρη. ς. ib. αὐτὸ τὸ διενεχθῆναι αὐτὸν σοφιστῇ. v, β. αὐτὸ τὸ σοφιστῇ αὐτὸν διενεχθῆναι. ς. nisi quod e. αὐτῷ τῷ, etiam h, m. αὐτῷ τὸ k. 2. ἐμνήσθην. 1. ἐπεμνήσθην. 2, 3, E.

3. ἥρμοσται. 1, p ex corr. Θ. s. v. ἥρμοστο. 2, 3, E. ib. ποτίμως. C praeter φ, ubi προτίμως. ποτίμως etiam a. προτίμως. i, j. προθύμως. m, o. — ib. δὲ σὺν. 1. δὲ καὶ σὺν β, v. 2, 3, E. ib. εὐροίαν. k. εὐροίᾳ. E. 4. ἡγώμεθα. C. ἡγούμεθα. E. 5. ταῦτα. f, ρ, k. ib. φρόντισμα. k. φροντίσματα. ς. ib. ἐπὶ τῷ λήρῳ. R, r, β, v et p in mg. ἐπὶ τῶν λήρων. f, ρ. ἐπὶ τῶν κλήρων. k. ἐπὶ τῷ ἀώρῳ. 2, 3, E. ἐτῷ ἀώρῳ. h. 6. ἀποφαινομεθα. r (sic ἀτόνως). ἀποφαινόμεθα. k, φ, π, g, E. ἀποφαινοίμεθα. R, f, v, β. ἀποφαινώμεθα. μ, h, p. 7. αὐτοῦ τῶν. R. μὲν αὐτῷ τῶν. v, β. ib. οἱ ἄριστοι k. ib. Πυρρούνιοι R. Πυρρώνιοι. r. Πυρώνειοι. v, β. 8. τοὺς — δύνασθαι om. β, v. ib. Πυρρωνίους. r.

9. οὐ γὰρ. g. 11. τῇ τε ἠχῇ. 1. τῇ τε ἠχοῖ. 2, 3, E. 12. τοῦ λόγου καὶ τὸ ἐπὶ πᾶσι. v, β, ρ, k. τοῦ λόγου καὶ τὸ ἐπιπᾶσιν. R, r. τοῦ λόγου. καὶ τὸ ἐπὶ πᾶσιν f. καὶ τὸ ἐπὶ πᾶσι τοῦ λόγου. 2, 3, et in φ: καὶ τῇ ἐπιτάσει τοῦ λόγου al. m. in mg. inde habent E. τῶ ἐπιπᾶσι τ. λόγ. l. 13. ἀκοῦσαι λέγων. k. 14. μηδὲ. μ.

15. τοσαῦτα. 1, p, g. καὶ τοσαῦτα. μ, h, φ, π, E.

17. ἐν Λεοντίνων. μ, ox, h. ib. ἤγαγεν. h. ib. ἡγώμεθα. 1 et p ex corr. ἡγούμεθα. 2, 3, E. ib. τὴν τῶν σοφιστῶν τέχνην, ὥσπερ ἐς πατέρα. 1. ὥσπερ ἐς πατέρα τὴν τῶν σοφιστῶν τέχνην. 2, 3, E. 18. συνεβάλλετο. R. ξυνεβάλλετο. v. 19. ἐπισκευάσας. v, β. 20. καὶ ὑπὸ σκηνῆς om. R. ib. καὶ ὁ Γοργίας τοῖς ὁμοτέχνοις. r. καὶ ὁ Γοργίας ἐν τοῖς ὁμοτέχνοις. f, ρ, k. ὁ Γοργίας ἐν τοῖς ὁμοτέχνοις. R. καὶ ἐν τοῖς ὁμοτέχνοις ὁ Γοργίας. v, β, 2, 3, E. 22. ἀποστάσεώς τε. 2. ib. προσβολῶν. Val. o. προ βολῶν R, sic lacunula relicta. προβολῶν r, ρ, k, v, β. προβόλων. f, 2, φ, π, g, e. προβόλῶν p. τριβόλων. m. περιβολῶν. B. ib. ὅδ' ἑαυτοῦ. v, β. γίνεται. R, v, β. om. ς. ib. σοβαρώτερον. ox, h. 23. παρεβάλετο. R. περιεβάλετο. v, β, 2, 3, E. ib. καὶ λαμπρότητος. R. ib. πῶς. 1. ὅπως. 2, 3, E. 24. κατὰ ἀρχὰς. r, v, β. κατὰ ἀρχὰς τοῦ λόγου om. R, v. β. 25. ὑπὲρ τῶν π. k. ὑπὸ πολλῶν. v, β. 26. ὄντες — γηράσκοντες. v, β. ὄντι — γηράσκοντι. h.

1, 8. §. 4, 9. §. 1. p. 492. 493. = 12. 13. 11.

δὲ ὁ τῆς τραγῳδίας ποιητής, ὃν ἡ κωμῳδία σοφόν τε καὶ καλλιεπῆ οἶδε, πολλαχοῦ τῶν ἰάμβων γοργιάζει.

Ἐμπρέπων δὲ καὶ ταῖς τῶν Ἑλλήνων πανηγύρεσι τὸν μὲν λόγον τὸν Πυθικὸν ἀπὸ τοῦ βωμοῦ 11
ἤχησεν, ἐφ' οὗ καὶ χρυσοῦς ἀνετέθη, ἐν τῷ τοῦ Πυθίου ἱερῷ, ὁ δὲ Ὀλυμπικὸς λόγος ὑπὲρ τοῦ μείστου αὐτῷ ἐπολιτεύθη· στασιάζουσαν γὰρ τὴν Ἑλλάδα ὁρῶν ὁμονοίας ξύμβουλος αὐτοῖς ἐγένετο τρέπων ἐπὶ τοὺς βαρβάρους καὶ πείθων ἆθλα ποιεῖσθαι τῶν ὅπλων μὴ τὰς ἀλλήλων πόλεις, ἀλλὰ τὴν τῶν βαρβάρων χώραν. ὁ δὲ ἐπιτάφιος, ὃν διῆλθεν Ἀθήνησιν, εἴρηται μὲν ἐπὶ τοῖς ἐκ τῶν πολέμων, [πεσοῦσιν] οὓς Ἀθηναῖοι δημοσίᾳ ξὺν ἐπαίνοις ἔθαψαν, σοφίᾳ δὲ ὑπερβαλλούσῃ ξύγκειται, παροξύνων τε γὰρ τοὺς Ἀθηναίους ἐπὶ Μήδους τε καὶ Πέρσας καὶ τὸν αὐτὸν νοῦν τῷ Ὀλυμπικῷ ἀγωνιζόμενος ὑπὲρ ὁμονοίας μὲν τῆς πρὸς τοὺς Ἕλληνας οὐδὲν διῆλθεν, ἐπειδὴ πρὸς Ἀθηναίους ἦν ἀρχῆς ἐρῶντας, ἣν οὐκ ἦν κτήσασθαι μὴ τὸ δραστήριον αἱρουμένους, ἐνδιέτριψε 494
δὲ τοῖς τῶν Μηδικῶν τροπαίων ἐπαίνοις, ἐνδεικνύμενος αὐτοῖς, ὅτι τὰ μὲν κατὰ τῶν βαρβάρων τρόπαια ὕμνους ἀπαιτεῖ, τὰ δὲ κατὰ τῶν Ἑλλήνων θρήνους.

Λέγεται δὲ ὁ Γοργίας ἐς ὀκτὼ καὶ ἑκατὸν ἐλάσας ἔτη μὴ καταλυθῆναι τὸ σῶμα ὑπὸ τοῦ 111
γήρως, ἀλλ' ἄρτιος καταβιῶναι καὶ τὰς αἰσθήσεις ἠβῶν.

ί. Πρωταγόρας δὲ ὁ Ἀβδηρίτης σοφιστὴς καὶ Δημοκρίτου μὲν ἀκροατὴς οἴκοι ἐγένετο, ὡμίλησε δὲ καὶ τοῖς ἐκ Περσῶν μάγοις κατὰ τὴν Ξέρξου ἐπὶ τὴν Ἑλλάδα ἔλασιν. πατὴρ γὰρ ἦν αὐτῷ Μαίανδρος πλούτῳ κατεσκευασμένος παρὰ πολλοὺς τῶν ἐν τῇ Θράκῃ, δεξάμενος δὲ καὶ τὸν Ξέρξην οἰκίᾳ τε καὶ δώροις τὴν ξυνουσίαν τῶν μάγων τῷ παιδὶ παρ' αὐτοῦ εὔρατο. οὐ γὰρ παιδεύουσι τοὺς μὴ Πέρσας Πέρσαι μάγοι, ἢν μὴ ὁ βασιλεὺς ἐφῇ. τὸ δὲ ἀπορεῖν φάσκειν, εἴτε εἰσὶ θεοί, εἴτε οὐκ εἰσί, δοκεῖ μοι Πρωταγόρας ἐκ τῆς Περσικῆς παιδεύσεως παρανομῆσαι· μάγοι γὰρ ἐπιθειάζουσι μὲν οἷς ἀφανῶς δρῶσι, τὴν δὲ ἐκ φανεροῦ δόξαν τοῦ θείου καταλύουσιν οὐ βουλόμενοι δοκεῖν παρ' αὐτοῦ δύνασθαι. διὰ μὲν δὴ τοῦτο πάσης γῆς ὑπὸ Ἀθηναίων ἠλάθη, ὡς μέν τινες, κριθείς, ὡς δὲ ἐνίοις δοκεῖ, ψήφου ἐπενεχθείσης μὴ κριθέντι. νήσους δὲ ἐξ ἠπείρων ἀμείβων καὶ τὰς Ἀθηναίων τριήρεις φυλαττόμενος πάσαις θαλάτταις ἐνεσπαρμένας κατέδυ πλέων ἐν ἀκατίῳ μικρῷ.

Τὸ δὲ μισθοῦ διαλέγεσθαι πρῶτος εὗρε, πρῶτος δὲ παρέδωκεν Ἕλλησι πρᾶγμα οὐ μεμπτόν, ἃ γὰρ σὺν δαπάνῃ σπουδάζομεν, μᾶλλον ἀσπαζόμεθα τῶν προῖκα. γνοὺς δὲ τὸν Πρωταγόραν ὁ Πλάτων σεμνῶς μὲν ἑρμηνεύοντα, ἐνυπτιάζοντα δὲ τῇ σεμνότητι καί που καὶ μακρολογώτερον τοῦ 495
συμμέτρου, τὴν ἰδέαν αὐτοῦ μύθῳ μακρῷ ἐχαρακτήρισεν.

1. σοφὸν δὲ. v. ἡδυεπῆ. R. ib. ἰαμβείων. E.
3. τοῖς τῶν Ἑλλήνων. π, g. 4. ὑφ' οὗ. π, g. ib. Ὀλυμπιακὸς. f, k, π, g. 6. ἀλλὰ τὰς τῶν πολεμίων χώρας. R. 7. τὴν βαρβάρων. f, k. ib. οὓς διῆλθεν. h. 8. πεσοῦσιν C, E. Inclusi. ib. οὓς οἱ Ἀθηναῖοι. E. ib. σύγκειται. p. 9. δήμους. R. ib. αὐτοῦ. φ, e, m. 10. Ὀλυμπιακῷ. h, π. 11. ἐνδιέτριψεν. f. 12 κατὰ βαρβάρων. g. 13. τροπαῖα. o. τρόπαια. f, v, h, p, g, e. de ceteris non constat.
14. ὑπὸ τοῦ γήρως. 1. ὑπὸ γήρως. 2, 3, E. 15. ἡμῶν. R.
16. δὲ om. R. ib. Ἀὐδηρίτης. v, β, 2, φ, π, g. ib. μὲν καὶ Δημοκρίτου. C. E. Sc. καὶ Δημοκρίτου μὲν.
17. τὴν Ξέρξου. 1. τὴν τοῦ Ξ. 2, 3, E. ib. πατὴρ γὰρ. r, f, ϱ, k. πατὴρ μὲν γὰρ. R, v, β, 2, 3, E. 18. Μέανδρος. r, f, v, ox. Μένανδρος. h. ib. ἐν Θράκῃ. R, v, p, π, g. ib. καὶ τὸν Ξέρξην. R. τὸν Ξ. ς. Ξέρξῃ. p (sic).
19. εὔρατο. R, r, μ. εὗρατο. f. εὕρετο. ς. 20. ἔφη. ϱ, μ, m, o. 21. οὐκ εἰσίν. f. ib. παρορμῆσαι. R. 22. τὴν τε. ϱ. τοῦ δὲ v. τὰ δὲ. π, g. ib. καταλέγουσιν. v. ib. βαλόμενοι. φ. 23. βούλεσθαι R. ib. πάσης τῆς k. ib. ἠλάσθη. f, k, g. 24. ἐπενεχθείσης. R, r, f, ϱ, k. ἐνεχθήσης. v, β. ἐνεχθείσης. 2, 3, E. 25. τὰς om. μ.
27. πρῶτος εὗρε. R, r, f, v, β. πρῶτος μὲν εὗρε. 2, 3, E. ib. καὶ πρῶτος παρέδωκε. R, v, β. 29. ἐνυπτιάζοντα. R, r, f, v, β. ὑπτιάζοντα. 2, 3, E. ib. καί που καὶ ἐς ὀλίγα καταφεύγων τῶν ἐκ ποιητικῆς ὀνομάτων μακρολογώτερα τοῦ συμμέτρου. v, β. ib. μακρολογώτερος. k. 30. ξυμμέτρου. f.

1. 9, §. 2, 3. 10. p. 494. 495. = 14. 15.

ια΄. Ἱππίας δὲ ὁ σοφιστὴς ὁ Ἠλεῖος τὸ μὲν μνημονικὸν οὕτω τι καὶ γηράσκων ἔρρωτο, ὡς καὶ πεντήκοντα ὀνομάτων ἀκούσας ἅπαξ ἀπομνημονεύειν αὐτὰ καθ' ἣν ἤκουσε τάξιν, ἐσήγετο δὲ ἐς τὰς διαλέξεις γεωμετρίαν ἀστρονομίαν μουσικὴν ῥυθμούς, διελέγετο δὲ καὶ περὶ ξωγραφίας καὶ περὶ ἀγαλματοποιίας. ταῦτα ἐτέρωθι. ἐν Λακεδαίμονι δὲ γένη τε διῄει πόλεων καὶ ἀποικίας καὶ ἔργα, ἐπειδὴ οἱ Λακεδαιμόνιοι διὰ τὸ βούλεσθαι ἄρχειν τῇ ἰδέᾳ ταύτῃ ἔχαιρον. ἔστιν δὲ αὐτῷ καὶ Τρωικὸς διάλογος, οὐ λόγος· ὁ Νέστωρ ἐν Τροίᾳ ἁλούσῃ ὑποτίθεται Νεοπτολέμῳ τῷ Ἀχιλλέως, ἃ χρὴ ἐπιτηδεύοντα ἄνδρα ἀγαθὸν φαίνεσθαι. πλεῖστα δὲ Ἑλλήνων πρεσβεύσας ὑπὲρ τῆς Ἤλιδος οὐδαμοῦ κατέλυσε τὴν ἑαυτοῦ δόξαν δημηγορῶν τε καὶ διαλεγόμενος, ἀλλὰ καὶ χρήματα πλεῖστα ἐξέλεξε καὶ φυλαῖς ἐνεγράφη πόλεων μικρῶν τε καὶ μειζόνων. παρῆλθε καὶ ἐς τὴν Ἰυνκὸν ὑπὲρ χρημάτων, τὸ δὲ πολίχνιον τοῦτο Σικελικοί εἰσιν, οὓς ὁ Πλάτων [τῷ Γοργίᾳ] ἐπισκώπτει, εὐδοκιμῶν
496 δὲ καὶ τὸν ἄλλον χρόνον ἔθελγε τὴν Ἑλλάδα ἐν Ὀλυμπίᾳ λόγοις ποικίλοις καὶ πεφροντισμένοις εὖ. ἑρμήνευε δὲ οὐκ ἐλλιπῶς, ἀλλὰ περιττῶς καὶ κατὰ φύσιν, ἐς ὀλίγα καταφεύγων τῶν ἐκ ποιητικῆς ὀνόματα.

ιβ΄. Προδίκου δὲ τοῦ Κείου ὄνομα τοσοῦτον ἐπὶ σοφίᾳ ἐγένετο, ὡς καὶ τὸν Γρύλλου Ξενοφῶντα ἐν Βοιωτοῖς δεθέντα ἀκροᾶσθαι διαλεγομένου, καθιστάντα ἐγγυητὴν τοῦ σώματος. πρεσβεύων δὲ παρὰ Ἀθηναίους παρελθὼν ἐς τὸ βουλευτήριον ἱκανώτατος ἔδοξεν ἀνθρώπων, καίτοι δυσήκοον καὶ βαρὺ φθεγγόμενος. ἀνίχνευε δὲ οὗτος τοὺς εὐπατρίδας τῶν νέων καὶ τοὺς ἐκ τῶν βαθέων οἴκων, ὡς καὶ προξένους ἐκτῆσθαι ταύτης τῆς θήρας, χρημάτων τε γὰρ ἥττων ἐτύγχανε καὶ ἡδοναῖς ἐδεδώκει. τὴν δὲ Ἡρακλέους αἵρεσιν τὸν τοῦ Προδίκου λόγον οὐδὲ Ξενοφῶν ἀπηξίωσε μὴ οὐχὶ ἑρμηνεῦσαι. καὶ τί ἂν χαρακτηρίζοιμεν τὴν τοῦ Προδίκου γλῶτταν, Ξενοφῶντος αὐτὴν ἱκανῶς ὑπογράφοντος;

497 ιγ΄. Πῶλον δὲ τὸν Ἀκραγαντῖνον Γοργίας σοφιστὴν ἐξεμελέτησε πολλῶν, ὥς φασι, χρημάτων, καὶ γὰρ δὴ καὶ τῶν πλουτούντων ὁ Πῶλος. εἰσὶ δέ, οἵ φασι καὶ τὰ πάρισα καὶ τὰ ἀντίθετα καὶ τὰ ὁμοιοτέλευτα Πῶλον εὑρηκέναι πρῶτον, οὐκ ὀρθῶς λέγοντες, τῇ γὰρ τοιᾷδε ἀγλαίᾳ τοῦ λόγου Πῶλος εὑρημένῃ κατεχρήσατο, ὅθεν ὁ Πλάτων διαπτύων αὐτὸν ἐπὶ τῇ φιλοτιμίᾳ ταύτῃ φησίν· „ὦ λῷστε Πῶλε, ἵνα σε προσείπω κατὰ σέ.“

ιδ΄. Οἱ δὲ καὶ Θρασύμαχον τὸν Καρχηδόνιον ἐν σοφισταῖς γράφοντες δοκοῦσί μοι παρα-

1. οὕτω τοι. p, v. ib. καὶ om. R. 2. ὡς πεντήκοντα. 2. ib. εἰσήγαγε. 2. 3. καὶ περὶ ἀγαλματοποιίας. 1. καὶ ἀγ. 2, 3, E. 4. ταῦτα ἐτέρωθι. R om. et v, β, in quibus om. omnia usque ad φαίνεσθαι. ib. καὶ ἀποικίας ἔργα. R. 5. ἐπειδή. r, f, k. ἐπεὶ. ς. ib. φασὶ τὸ. R. ib. ἔστιν δὲ — φαίνεσθαι om. R, v, β. 6. τῷ Ἀχιλλέως. r, f, μ, p. ex corr. j. τοῦ Ἀχιλλέως. ox, o. τὸν Ἀχιλλέα. h, φ, π, g, a, i. 7. ἐπιτηδεύοντα ἀ. r, f, μ. ἐπιτηδεύοντ' ἀ. ς. ib. ὑπὲρ τῆς Ἤλιδος. r, v, β. ὑπὲρ τῆς Ἥλιδος. f. ὑπὲρ τῆς Ἔλιδος. k. ὑπὲρ τῆς Ἤλιδος om. R, 2, 3, E. 8. κατέλυκε. v, β. ib. ἀλλὰ καὶ χρήματα. 1. ἀλλὰ χρ. 2, 3, E. 9. ἐξήλεγξε. R. ib. μικρῶν τε καὶ μειζόνων om. R, v, β. ib. παρῆλθε — ἐπισκώπτει om. R, v, β, 2, 3, e, m. 12. ἑρμήνευε. R, r et ρ ante corr. ἡρμήνευε. ς. ib. οὔτ' ἐλλιπῶς. v. ib. περιττὸν. v. ib. ἐς ὀλίγα — ὀνόματα om. R, v, β. ἐς ὀλιγαττεύων. r, f. εἰς ὀλίγα φεύγων. ρ, k. ἐς ὀλίγα καταφεύγων. 2, 3, E. 13. ὀνόματα. r, f, ρ, k et p. ex corr. ὀνομάτων. 2, 3, E.

14. Κείου. R, f, v, β, ve, o. Κίου. cett. C et e, m. ib. τὴν Γρύλλου Ξενοφῶντος. v, β. 15. διαλεγόμενος. R. 16. παρὰ Ἀθηναίους. v, β. παρὰ Ἀθηναίοις. R, r, f, k, ox, p, φ, E. παρ' Ἀθηναίοις. μ, h. καὶ παρ' Ἀθηναίοις. π, g. ib. δικαστήριον. μ. ib. ἄνθρωπος. 1. 17. φεγγόμενος. f. φθεγξάμενος. R. ib. ἀνίχνευε οὗτως εὐπατρίδας. R. 18. βαθέων οἴκων. C (οἶκον r) et o. βαθέων. e, m. ib. ἐκτῆσθαι. r. κεκτῆσθαι. ς. ib. γὰρ om. p. 19. τὴν δὲ — ἑρμηνεῦσαι om. R. ib. τὸν τοῦ Προδίκου λόγον. r, k, B. τῶν τοῦ Προδίκου λόγων. 2, p, φ, e, m. τῶν τοῦ Προδίκου λόγον. o, et, ut videtur, π, g. 20. μὴ οὐχ. r, f. ib. χαρακτηρίζομεν. v. χαρακτηρίζωμεν. k.

22. Παῦλον δὲ. R. Πῶλον et om. δὲ. 2, φ, π, g, E. 23. εἰσὶ δ' οἵ φασι. f, μ, h, φ. 24. καὶ ὁμοιοτέλευτα. r, f, k. 25. οὐχ εὑρηκὼς κατεχρήσατο. μ.

27. Καρχηδόνιον. C, e, m. Χαλκηδόνιον. o.

1, 11, 12, 13, 14. p. 496. 497. = 15. 16. 17.

κούειν Πλάτωνος ταὐτὸν εἶναι λέοντα ξυρεῖν καὶ συκοφαντεῖν Θρασύμαχον· δικογραφίαν γὰρ αὐτῷ προφέροντός ἐστί που ταῦτα καὶ τὸ ἐν δικαστηρίοις συκοφαντοῦντα τρίβεσθαι.

ιέ. Ἀντιφῶντα δὲ τὸν Ῥαμνούσιον οὐκ οἶδ', εἴτε χρηστὸν δεῖ προσειπεῖν, εἴτε φαῦλον. 498
χρηστὸς μὲν γὰρ προσειρήσθω διὰ τάδε· ἐστρατήγησε πλεῖστα, ἐνίκησε πλεῖστα, ἑξήκοντα τριήρεσι πεπληρωμέναις ἡῦξησεν Ἀθηναίοις τὸ ναυτικόν, ἱκανώτατος ἀνθρώπων ἔδοξεν εἰπεῖν τε καὶ γνῶναι· διὰ μὲν δὴ ταῦτα ἐμοί τε ἐπαινετέος καὶ ἑτέρῳ. κακὸς δ' ἂν εἰκότως διὰ τάδε φαίνοιτο· κατέλυσε τὴν δημοκρατίαν, ἐδούλωσε τὸν Ἀθηναίων δῆμον, ἐλακώνισε κατ' ἀρχὰς μὲν ἀφανῶς, ὕστερον δ' ἐπιδήλως, τυράννων τετρακοσίων δῆμον ἐπαφῆκε τοῖς Ἀθηναίων πράγμασιν.

Ῥητορικὴν δὲ τὸν Ἀντιφῶντα οἱ μὲν οὐκ οὖσαν εὑρεῖν, οἱ δ' εὑρημένην αὐξῆσαι, γενέσθαι II
τε αὐτὸν οἱ μὲν αὐτομαθῶς σοφόν, οἱ δὲ ἐκ πατρός. πατέρα γὰρ εἶναι δὴ αὐτῷ Σώφιλον 10
διδάσκαλον ῥητορικῶν λόγων, ὃς ἄλλους τε τῶν ἐν δυνάμει καὶ τὸν τοῦ Κλεινίου ἐπαίδευσεν. πιθανώτατος δὲ ὁ Ἀντιφῶν γενόμενος καὶ προσρηθεὶς Νέστωρ ἐπὶ τῷ περὶ παντὸς εἰπὼν ἂν πεῖσαι 499
νηπενθεῖς ἀκροάσεις ἐπήγγειλεν, ὡς οὐδὲν οὕτω δεινὸν ἐρούντων ἄχος, ὃ μὴ ἐξελεῖν τῆς γνώμης. καθάπτεται δὲ ἡ κωμῳδία τοῦ Ἀντιφῶντος ὡς δεινοῦ τὰ δικανικὰ καὶ λόγους κατὰ τοῦ δικαίου ξυγκειμένους ἀποδιδομένου πολλῶν χρημάτων αὐτοῖς μάλιστα τοῖς κινδυνεύουσιν. τουτὶ ὁποίαν 15
ἔχει φύσιν, ἐγὼ δηλώσω· ἄνθρωποι κατὰ μὲν τὰς ἄλλας ἐπιστήμας καὶ τέχνας τιμῶσι τοὺς ἐν ἑκάστῃ αὐτῶν προὔχοντας καὶ θαυμάζουσι τῶν ἰατρῶν τοὺς μᾶλλον παρὰ τοὺς ἧττον, θαυμάζουσι δ' ἐν μαντικῇ καὶ μουσικῇ τὸν σοφώτερον, τὴν αὐτὴν καὶ περὶ τεκτονικῆς καὶ πασῶν βαναύσων τιθέμενοι ψῆφον, ῥητορικὴν δὲ ἐπαινοῦσι μέν, ὑποπτεύουσι δὲ ὡς πανοῦργον καὶ φιλοχρήματον καὶ κατὰ τοῦ δικαίου ξυγκειμένην. γιγνώσκουσι δ' οὕτω περὶ τῆς τέχνης οὐχ οἱ πολλοὶ μᾶλλον, 20
ἀλλὰ καὶ τῶν σπουδαίων οἱ ἐλλογιμώτατοι· καλοῦσι γοῦν δεινοὺς ῥήτορας τοὺς ἱκανῶς μὲν συνιέντας, ἱκανῶς δὲ ἑρμηνεύοντας, οὐκ εὔφημον ἐπωνυμίαν τιθέμενοι τῷ πλεονεκτήματι. τούτου δὲ φύσιν τοιαύτην ἔχοντος οὐκ ἀπεικὸς ἦν, οἶμαι, γενέσθαι καὶ τὸν Ἀντιφῶντα κωμῳδίας λόγον αὐτὰ μάλιστα κωμῳδούσης τὰ λόγου ἄξια.

Ἀπέθανε μὲν οὖν περὶ Σικελίαν ὑπὸ Διονυσίου τοῦ τυράννου, τὰς δ' αἰτίας, ἐφ' αἷς ἀπέ- 25 III
θανεν, Ἀντιφῶντι μᾶλλον ἢ Διονυσίῳ προσγράφομεν· διεφαύλιζε γὰρ τὰς τοῦ Διονυσίου τραγῳδίας, ἐφ' αἷς ὁ Διονύσιος ἐφρόνει μεῖζον ἢ ἐπὶ τῷ τυραννεύειν, σπουδάζοντος δὲ τοῦ τυράννου

1. ταὐτὸν εἶναι. R, f, v, β. ταὐτὸν εἶναι φάσκοντος. ρ (sec. m. add.), k, 2, 3, E. ib. δικορραφίαν. φ. ex corr. m in mg. 2. προσφέροντος. h, π, g. in p. erasum est σ. ib. ἐστί που. R, r, f. ἔστι ὅπου. k. ἐστὶ δήπου. ς. ib. τρίβεσθαι συκοφαντοῦντα. μ.
4. διὰ τόνδε. R. ib. ἐνίκησε πλεῖστα. om. k. πλεῖστα om. R, v. bis. ib. ἑξήκοντα τριήρεσι πεπληρωμέναις om. R, v. 5. τε om. μ, h. 6. κακῶς. R. ib. φαίνοιτο om. R, v, 2, 3, e, m. In p est a sec. m. 7. ἐδούλωσε τὸν αἷον
Ἀθηναῖον δῆμον om. R. ib. τῶν Ἀθηναίων. r, k. τὸν Ἀθηναίων. φ. corr. al. m. 8. ἐπιδόλως. h. ib. τυράννων τετρακοσίων. 1 etp ex corr. τυράννων οὖν. 2, E. τυράννων. 3.
9. ῥητορικήν τε. k. ib. γενέσθαι δὲ. p. 10. αὐτοφυῶς σοφόν. R ib. πατέρα γὰρ εἶναι δὴ αὐτῷ Σώφιλον. v, β. πατέρα δὴ αὐτῷ Σ. r, f. πατέρα δὴ αὐτοῦ Σούφιλον. ρ, ubi εἶναι φασὶ in mg. πατέρα δὴ αὐτῷ Σοφῖλον εἶναι φασί. ρ et p, qui tantum discrepat in δὲ. πατέρα δέ φασιν αὐτῷ Σοφῖλον. 2, 3, E. 11. ῥητορικῆς λόγων. v. ib. οὗς. g. ib. Κλεινίου υἱὸν Ἀλκιβιάδην. ρ sec. μ. k, p. 12. Νέστορος. R. ib. ἐπὶ τοῦ. R. ib. εἰπὼν ἂν. 1 ἂν εἰπὼν. 2, 3, E. 13. ἐρώτων. R. ib. μὴ ἐξελεῖν. 1. μὴ δ' ἐξέλοιτο. μ. ἐξέλοι. v, β, ox, h, 3, E. 14. καθάπτεται δὲ. μ. κ. δ'. E. ib. τὰ om. e, m. 15. ἀποδιδόναι. R. ib. τὸ δὲ. 1. ib. ὅποι. R. ὁποῖον. r. 16. τινῶν τοῦ. R. 17. θαυμάζουσι τῶν. R, r, f. θαυμάζουσι μὲν τῶν. ς. 18. ἐν τῇ μαντικῇ. E. ib. αὐτὴν περὶ. v, β. ib. καὶ πασῶν βαναύσων. 1 et p in mg. καὶ περὶ βαναύσων. 2, 3, E. 19. ῥ. δ' ἐπαινοῦσι. r, f, v. 20. οἱ πολλοὶ μᾶλλον. 1. οἱ πολλοὶ μόνον. 2, 3, E. 21. καλοῦσί γ' οὖν. r, f. κ. γοῦν. k, v, β. κ. δὲ R. κ. δ' οὖν. 2, 3, E. ib. ἱκανῶς δὲ. f, μ. 22. εὔφωνον. R, r, et f. ubi mg. γρ. εὔφημον 23. τῷ Ἀντιφῶντι. π. 24. τὰ τοῦ λόγου. v.
25. οὖν om. R. ib. Διονύσου. g. sic ubique. ib. αἰτίας, αἷς. k. 26. καὶ τὰς. r. 27. ὁ Διονύσιος. r, f, ρ. k. ἐκεῖνος. R, v, β, 2, 3, E. ib. ἐφρόντιζε. v. ἐφρόνει. μ. ib. μεῖζον. v. μᾶλον. et sec. m. μᾶζον. μ. ib. τυραννεύειν. r, p in mg. ve. τυραννεῖν. ς.

1, 15, §. 1, 2, 3. p. 498. 499. = 17. 18.

500 περὶ εὐγενείας χαλκοῦ καὶ ἐρομένου τοὺς παρόντας, τίς ἤπειρος ἢ νῆσος, ἢ τὸν ἄριστον χαλκὸν φύει, παρατυχὼν ὁ Ἀντιφῶν τῷ λόγῳ „ἐγὼ ἄριστον“ ἔφη „οἶδα τὸν Ἀθήνησιν, οὗ γεγόνασιν Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνες.“ ἐπὶ μὲν δὴ τούτοις ἀπέθανεν, ὡς ὑφέρπων τὸν Διονύσιον καὶ τρέπων ἐπ' αὐτὸν τοὺς Σικελιώτας, ἥμαρτε δὲ ὁ Ἀντιφῶν πρῶτον μὲν τυράννῳ προσκρούων, ὑφ' ᾧ ζῆν ἥρητο μᾶλλον ἢ οἴκοι δημοκρατεῖσθαι, ἔπειτα Σικελιώτας μὲν ἐλευθερῶν, Ἀθηναίους δὲ δουλούμενος. καὶ μὴν καὶ τοῦ τραγῳδίαν ποιεῖν ἀπάγων τὸν Διονύσιον ἀπῆγεν αὐτὸν τοῦ ῥᾳθυμεῖν, αἱ γὰρ τοιαίδε σπουδαὶ ῥᾴθυμοι, καὶ οἱ τύραννοι δὲ αἱρετώτεροι τοῖς ἀρχομένοις ἀνειμένοι μᾶλλον ἢ ξυντείνοντες, εἰ γὰρ ἀνήσουσιν, ἧττον μὲν ἀποκτενοῦσιν, ἧττον δὲ δράσονταί τε ἁρπάσονται, τύραννος δὲ τραγῳδίαις ἐπιτιθέμενος ἰατρῷ εἰκάσθω νοσοῦντι μέν, ἑαυτὸν δὲ θεραπεύοντι· αἱ γὰρ μυθοποιίαι καὶ αἱ μονῳδίαι καὶ οἱ ῥυθμοὶ τῶν χορῶν καὶ ἡ τῶν ἠθῶν μίμησις, ὧν ἀνάγκη τὰ πλείω χρηστὰ φαίνεσθαι, μεταβάλλει τοὺς τυράννους τοῦ ἀπαραιτήτου καὶ σφοδροῦ, καθάπερ αἱ φαρμακοποσίαι τὰς νόσους. ταῦτα μὴ κατηγορίαν Ἀντιφῶντος, ἀλλὰ ξυμβουλίαν ἐς πάντας ἡγώμεθα τοῦ μὴ ἐκκαλεῖσθαι τὰς τυραννίδας, μηδὲ ἐς ὀργὴν ἄγειν ἥθη ὠμά.

IV Λόγοι δ' αὐτοῦ δικανικοὶ μὲν πλείους, ἐν οἷς ἡ δεινότης καὶ πᾶν τὸ ἐκ τέχνης ἔγκειται, σοφιστικοὶ δὲ καὶ ἕτεροι μέν, σοφιστικώτερος δὲ ὁ ὑπὲρ τῆς ὁμονοίας, ἐν ᾧ γνωμολογίαι τε λαμπραὶ καὶ φιλόσοφοι σεμνή τε ἀπαγγελία καὶ ἐπηνθισμένη ποιητικοῖς ὀνόμασι καὶ τὰ ἀποτάδην ἑρμηνευόμενα παραπλήσια τῶν πεδίων τοῖς λείοις.

501 ις'. Κριτίας δὲ ὁ σοφιστὴς εἰ μὲν κατέλυσε τῶν Ἀθηναίων τὸν δῆμον, οὕπω κακός — καταλυθείη γὰρ ἂν καὶ ὑφ' ἑαυτοῦ δῆμος οὕτω τι ἐπηρμένος, ὡς μηδὲ τῶν κατὰ νόμους ἀρχόντων ἀκροᾶσθαι — ἀλλ' ἐπεὶ λαμπρῶς μὲν ἐλακώνισε, προυδίδου δὲ τὰ ἱερά, καθῄρει δὲ διὰ Λυσάνδρου τὰ τείχη, οὓς δ' ἤλαυνε τῶν Ἀθηναίων τὸ στῆναί ποι τῆς Ἑλλάδος ἀφῃρεῖτο πόλεμον Λακωνικὸν ἀνειπὼν ἐς πάντας, εἴ τις τὸν Ἀθηναῖον φεύγοντα δέξοιτο, ὠμότητι δὲ καὶ μιαιφονίᾳ τοὺς τριάκοντα ὑπερεβάλλετο βουλεύματός τε ἀτόπου τοῖς Λακεδαιμονίοις ξυνελάμβανεν, ὡς μηλόβοτος ἡ Ἀττικὴ ἀποφανθείη τῆς τῶν ἀνθρώπων ἀγέλης ἐκκενωθεῖσα, κάκιστος ἀνθρώπων ἔμοιγε φαίνεται ξυμπάντων, ὧν ἐπὶ κακίᾳ ὄνομα. καὶ εἰ μὲν ἀπαίδευτος ὢν ἐς τάδε ὑπήχθη, ἔρρωτο ἂν ὁ λόγος τοῖς φάσκουσιν ὑπὸ Θετταλίας καὶ τῆς ἐκείνῃ ὁμιλίας παρεφθορέναι αὐτόν, τὰ γὰρ ἀπαίδευτα ἤθη εὐπαράγωγα πάντως ἐς βίου αἵρεσιν, ἐπεὶ δὲ ἄριστα μὲν ἦν πεπαιδευμένος, γνώμας δὲ πλείστας ἑρμηνεύων, ἐς Δρωπίδην δ' ἀναφέρων, ὃς μετὰ Σόλωνα Ἀθηναίοις ἦρξεν, οὐκ ἂν διαφύγοι

1. ἐρωμένου. R. ib. νῆσος ἢ τὸν. r, f, ϱ, k. νῆσος τὸν. R, v, β, 2, 3, E. ib. χαλκὸν φέρει. R. 2. παρατυχὼν. 1, 2. περιτυχὼν. 3, E (in φ. παρα est superscr.) ib. ἄριστον, ἔφη, οἶδα. μ. ἔφη, ἄριστον ἡγοῦμαι. pe. αἱ ἄριστον. ἔφη.' ς. ib. γεγόνασιν Ἁρμοδίου. R, r, f, v, β. γεγόνασιν Ἁρμοδιου. ϱ. sic suprascr. art. γεγόνασιν αἱ Ἁρμοδίου. k, 2, 3, E. 3. ἐφέρπων. g. mg. 5. εἴρητο. R, r. 6. καὶ μὴν ἐκ τοῦ. e, m. ib. ἀπήγαγεν. R. 7. καὶ οἱ τύραννοι αἱρετώτεροι. R, r et p ex erasione. καὶ οἱ τύραννοι οἱ αἱρετώτεροι. f, k, o. καὶ οἱ τύραννοι δὲ αἱρετώτεροι. v, β, 2, φ, π, g, e, m. 8. δράσονται. p. 9. νοσοῦντα. k. 11. χρηστὰ πλείω. R. χρηστὰ τὰ πλείω. v, β. πλείω χρηστὰ. h, g, e, m. om. art. 12. τῆς νόσου. e, m. 13. λογιζώμεθα. v, β. ib. ἐγκαλεῖσθαι. m. γρ.

14. πᾶν τὸ ἐκ τέχνης. f, ϱ, k, v, β, p. πέραν τοῦ ἐκ τέχνης. R. πᾶν τὸ ἐκ τῆς τέχνης. 2, φ, π, g, e, m. ib. ἔγκειται μᾶλλον ἢ σύγκειται. 2, φ, π, g, e, m. 15. καὶ om. R, β. 17. ἑρμηνευόμενα καθάπερ τῶν πεδίων τα λεῖα. R.

18. τὸν Ἀθηναίων. R. 19. καὶ δῆμος ὑφ' ἑαυτοῦ. R. ib. οὕτω τοι. v, h. ib. ὡς μὴ τῶν. g. ib. ἀρχομένων. R. 20. μὲν λαμπρῶς. π. ib. ἐλακώνισεν. f. ib. προυδίδου τε. f. προυδίδου τὰ. o. 21. ἀφῄρητο. R, f, k, v. 22. ἀνειπὼν. R. εἰπὼν. ς. ib. τὸν Ἀθηναίων. v, β. ib. φεύγοντα om. π. ib. δέξοιτο. f, ϱ, k. δέξαιτο. ς. ib. ὠμότητι δὲ. ϱ, k. ὠμότητί τε. ς. ib. τοὺς τριάκοντα om. R, spatio relicto. τὰ τριάκοντα. k. ὑπερεβάλετο. v, β. 23. βουλεμάτου τε. p. ib. μηλόβητος. R. ib. ἡ Ἀττικὴ. v, β, 2, 3, E. Ἀττικὴ om. art. R, f, ϱ, k. 25. ἔρρωτο ἄν. f, k, v. ἔρρωτ' ἄν. ς. 26. τὰ μὲν γὰρ. E. 27. ἀπαράγωγα. 2. ib. παντός. g in mg. 28. Δροπίδην. v. ib. Ἀθηναίοις. f, ϱ, v, β. Ἀθηναίων. R, ϱ sec. m. k, 2, 3, E.

1, 15, §. 4, 16, §. 1, 2. p. 500. 501. = 18. 19. 20.

παρὰ τοῖς πολλοῖς αἰτίαν τὸ μὴ οὐ κακίᾳ φύσεως ἁμαρτεῖν ταῦτα. καὶ γὰρ αὖ κἀκεῖνο ἄτοπον Σωκράτει μὲν τῷ Σωφρονίσκου μὴ ὁμοιωθῆναι αὐτόν, ᾧ πλεῖστα δὴ συνεφιλοσόφησε σοφωτάτῳ τε καὶ δικαιοτάτῳ τῶν ἐφ' ἑαυτοῦ δόξαντι, Θετταλοῖς δ' ὁμοιωθῆναι, παρ' οἷς ἀγερωχία καὶ ἄκρατος καὶ τυραννικὰ ἐν οἴνῳ σπουδάζεται. ἀλλ' ὅμως οὐδὲ Θετταλοὶ σοφίας ἠμέλουν, ἀλλ' ἐγοργίαζον ἐν Θετταλίᾳ μικραὶ καὶ μείζους πόλεις ἐς Γοργίαν ὁρῶσαι τὸν Λεοντῖνον, μετέβαλον 5 502
δ' ἂν καὶ ἐς τὸ κριτιάζειν, εἴ τινα τῆς ἑαυτοῦ σοφίας ἐπίδειξιν ὁ Κριτίας παρ' αὐτοῖς ἐποιεῖτο· ὁ δὲ ἠμέλει μὲν τούτου, βαρυτέρας δ' αὐτοῖς ἐποιεῖτο τὰς ὀλιγαρχίας διαλεγόμενος τοῖς ἐκεῖ δυνατοῖς καὶ καθαπτόμενος μὲν δημοκρατίας ἁπάσης, διαβάλλων δ' Ἀθηναίους, ὡς πλεῖστα ἀνθρώπων ἁμαρτάνοντας, ὥστε ἐνθυμουμένῳ ταῦτα Κριτίας ἂν εἴη Θετταλοὺς διεφθορὼς μᾶλλον ἢ Κριτίαν Θετταλοί. 10

Ἀπέθανε μὲν οὖν ὑπὸ τῶν ἀμφὶ Θρασύβουλον, οἳ κατῆγον ἀπὸ φυγῆς τὸν δῆμον, δοκεῖ III
δ' ἐνίοις ἀνὴρ ἀγαθὸς γενέσθαι παρὰ τὴν τελευτήν, ἐπειδὴ ἐνταφίῳ τῇ τυραννίδι ἐχρήσατο. ἐμοὶ δὲ ἀποπεφάνθω μηδένα ἀνθρώπων καλῶς δὴ ἀποθανεῖν ὑπὲρ ὧν οὐκ ὀρθῶς εἵλετο, δι' ἃ μοι δοκεῖ καὶ ἡ σοφία τοῦ ἀνδρὸς καὶ τὰ φροντίσματα ἧττον σπουδασθῆναι τοῖς Ἕλλησιν· εἰ γὰρ μὴ ὁμολογήσει ὁ λόγος τῷ ἤθει, ἀλλοτρίᾳ τῇ γλώττῃ δόξομεν φθέγγεσθαι, ὥσπερ οἱ αὐλοί. 15

Τὴν δὲ ἰδέαν τοῦ λόγου δογματίας ὁ Κριτίας καὶ πολυγνώμων σεμνολογῆσαί τε ἱκανώτατος IV
οὐ τὴν διθυραμβώδη σεμνολογίαν, οὐδὲ καταφεύγουσαν ἐς τὰ ἐκ ποιητικῆς ὀνόματα, ἀλλ' ἐκ τῶν κυριωτάτων συγκειμένην καὶ κατὰ φύσιν ἔχουσαν. ὁρῶ τὸν ἄνδρα καὶ βραχυλογοῦντα ἱκανῶς καὶ 503
δεινῶς καθαπτόμενον ἐν ἀπολογίας ἤθει, ἀττικίζοντά τε οὐκ ἀκράτως, οὐδὲ ἐκφύλως — τὸ γὰρ ἀπειρόκαλον ἐν τῷ ἀττικίζειν βάρβαρον — ἀλλ' ὥσπερ ἀκτίνων αὐγαὶ τὰ Ἀττικὰ ὀνόματα διαφαί- 20
νεται τοῦ λόγου. καὶ τὸ ἀσυνδέτως δὲ χωρίῳ προσβαλεῖν Κριτίου ὥρα, καὶ τὸ παραδόξως μὲν ἐνθυμηθῆναι, παραδόξως δ' ἀπαγγεῖλαι Κριτίου ἀγών, τὸ δὲ τοῦ λόγου πνεῦμα ἐλλιπέστερον μέν, ἡδὺ δὲ καὶ λεῖον, ὥσπερ τοῦ Ζεφύρου ἡ αὔρα.

ιζ'. Ἡ δὲ Σειρὴν ἡ ἐφεστηκυῖα τῷ Ἰσοκράτους τοῦ σοφιστοῦ σήματι, ἐφέστηκε δὲ καὶ οἷον ᾄδουσα, πειθὼ κατηγορεῖ τοῦ ἀνδρός, ἣν συνεβάλετο ῥητορικοῖς νόμοις καὶ ἤθεσι, πάρισα 25
καὶ ἀντίθετα καὶ ὁμοιοτέλευτα οὐχ εὑρὼν πρῶτος, ἀλλ' εὑρημένοις εὖ χρησάμενος, ἐπεμελήθη δὲ καὶ περιβολῆς καὶ ῥυθμοῦ καὶ συνθήκης καὶ κρότου. ταυτὶ δ' ἠτοίμασέ που καὶ τὴν Δη-
μοσθένους γλῶτταν· Δημοσθένης γὰρ μαθητὴς μὲν Ἰσαίου, ζηλωτὴς δὲ Ἰσοκράτους γενόμενος 504

1. καὶ γὰρ αὖ. p. καὶ γὰρ οὖν. 1. καὶ γὰρ ἂν. 2, φ, π, g, E. 2. τῷ Σ. — αὐτὸν om. h. ib. ᾧ πλεῖστα δὴ συνφιλοσόφησεν. 1. ω (sic) συνεφιλοσοφήσαι μάλιστα δή. μ. ᾧ συνεφιλοσόφησε, πλεῖστα δή. ox. h, 3, E. 3. τῷ ἐφ' ἑαυτοῦ. R. τῶν ἐφ' ἑαυτοῖς. v, β. ib. ἀγερωχίαι τε. ox. 4. κράτος eraso ά. p. ib. καὶ τυραννικά. R, μ, p, π. καὶ τὰ τυραννικὰ. ox, h, φ, g, E. 5. τὸν Λεοντῖνον om. R. τὸν ἐκ Λεοντίνων v, β. ib. μετέβαλον δ' ἂν. R, f, v, β. μετάβαλον δ' ἂν. k. μετέβαλον δὲ. 2, 3, o. (μετέβαλλον a rec. m. g.) μετέβαλε δὲ. e, m. 6. φύσεως ἐπιδ. μ. 7. τὰς om. h. 8. μὲν om. R, v, β. 9. Κριτίαν Θετταλοὺς. h.)

11. ὑπὸ τὸν. R. ib. ὃς κατῆγεν. μ, h, g. ἀπὸ Φυλῆς. B. 12. ἀνὴρ δυνατὸς. f, ρ, k. 13. καλῶς δὴ. R, f, k, v, β. καλῶς. 2, 3, E. 14. ἐς τὰ φροντίσματα. e, m. ποιήματα et mg. φροντίσματα. p. 15. ἀλλοτρίᾳ τῇ γλώττῃ. f, ρ, k. ἀλλοτρίᾳ γλώττῃ. v, β, 2, 3, E. (ἀλλοτρίᾳ δόξομεν γλώττῃ φθέγγεσθαι. h.)

17. ἐκ om. o. 18. ἱκανῶς om. g. 19. ἐν om. φ. E. ib. ἤθη i. εἴδει. o. ib. ἐνφαύλως. R, f, v, β. ἐμφαύλως. ρ. ἐκφαύλως. 2, 3, E. Scr. ἐκφύλως. ib. τὸ δὲ ἀπειρόκαλον. μ. 20. ὡς ἀκτίνων. π, g. ib. αὐγὰς v, β. ib. διαφαίνεται τῶν λόγων. v, β. 21. δὲ om. f, k et p, ubi erasum. ib. Κριτίου ἄρα. R. 23. ὥσπερ τοῦ Ζεφύρου ἡ αὔρα. μ. ὥσπερ ἡ τοῦ Ζεφύρου αὔρα. ς. Scr. αὖρα.

24. Ἰσοκράτης h. sic ubique. ib. ἡ ἐφεστῶσα. R. ib σήματι. f, v, β, ve, p. σώματι k, o. στόματι. R, γ. 2, 3, e, m, ubi mg. γρ. σήματι. ib. στόματι τοῦ σοφοῦ. R. ib. καὶ οἷον. R. οἷον. ς. 25. εὐμουσίαν κατηγορεῖ. Θ. v. κατηγορῶ. et Tricl. ad Soph. Aj. 906. ib. συνεβάλλετο. R. ib. μόνοις καὶ ἤθεσι. h. μόνος ἤθεσι. p. μόνος καὶ ἤθεσι φ, e. 26. εὑρημένος. γ. ib. δὲ om. γ. 27. παραβολῆς v, β, ox. ib. ῥυθμοῦ. μ. ῥυθμῷ. v, β. ῥυθμῶν. ς. ib. ταυτὶ δὲ. E. 28. Δημοσθένης μὲν γὰρ μαθητὴς Ἰσαίου. v, γ.

1, 16, §. 3, 4. 17, §. 1. p. 502. 503. 504. = 20. 21.

ὑπερεβάλετο αὐτὸν θυμῷ καὶ ἐπιφορᾷ καὶ περιβολῇ καὶ ταχυτῆτι λόγου τε καὶ ἐννοίας. σεμνότης δ' ἡ μὲν Δημοσθένους ἐπεστραμμένη μᾶλλον, ἡ δὲ Ἰσοκράτους ἁβροτέρα τε καὶ ἡδίων. παράδειγμα δὲ ποιώμεθα τῆς Δημοσθένους σεμνότητος· „πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ, δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δέ, ἃ ἂν ὁ θεὸς διδῷ, γενναίως." ἡ δὲ Ἰσοκράτους σεμνότης ὧδε κεκόσμηται· „τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημένης, καὶ τῆς μὲν Ἀσίας, τῆς δὲ Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος."

505 Τὰ μὲν οὖν πολιτικὰ ὤκνει καὶ ἀπεφοίτα τῶν ἐκκλησιῶν διά τε τὸ ἐλλιπὲς τοῦ φθέγματος, διά τε τὸν Ἀθήνησιν φθόνον ἀντιπολιτευόμενον αὐτοῖς μάλιστα τοῖς σοφώτερόν τι ἑτέρου ἀγορεύουσιν. ὅμως δ' οὐκ ἀπεσπούδαξε τῶν κοινῶν· τόν τε γὰρ Φίλιππον, ἐν οἷς πρὸς αὐτὸν ἔγραφεν Ἀθηναίοις δήπου διωρθοῦτο, καὶ οἷς περὶ τῆς εἰρήνης συνέγραφεν, ἀνεσκεύαζε τοὺς Ἀθηναίους τῆς θαλάττης, ὡς κακῶς ἐν αὐτῇ ἀκούοντας, ὁ πανηγυρικός τε αὐτῷ λόγος, ὃν III διῆλθεν Ὀλυμπίασι τὴν Ἑλλάδα πείθων ἐπὶ τὴν Ἀσίαν στρατεύειν παυσαμένους τῶν οἴκοι ἐγκλημάτων. οὗτος μὲν οὖν εἰ καὶ κάλλιστος λόγων, αἰτίαν ὅμως παρέδωκεν, ὡς ἐκ τῶν Γοργίᾳ σπουδασθέντων ἐς τὴν αὐτὴν ὑπόθεσιν συντεθείς. ἄριστα δὲ τῶν Ἰσοκράτους φροντισμάτων ὅ τε Ἀρχίδαμος ξύγκειται καὶ ὁ Ἀμάρτυρος, τοῦ μὲν γὰρ διήκει φρόνημα Λακεδαιμονίους τῶν Λευκτρικῶν ἀναφέρον καὶ οὐκ ἀκριβῆ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ ἡ ξυνθήκη λαμπρά, ἐναγώνιος δὲ ὁ λόγος, ὡς καὶ τὸ μυθῶδες αὐτοῦ μέρος, τὸ περὶ τὸν Ἡρακλέα καὶ τὰς βοῦς σὺν ἐπιστροφῇ ἑρμηνεῦσθαι, ὁ δὲ Ἀμάρτυρος ἰσχὺν ἐνδείκνυται κεκολασμένην ἐς ῥυθμούς, νόημα γὰρ ἐκ νοήματος IV ἐς περιόδους ἰσοκώλους τελευτᾷ.

506 Ἀκροαταὶ τοῦ ἀνδρὸς τούτου πολλοὶ μέν, ἐλλογιμώτατος δὲ Ὑπερίδης ὁ ῥήτωρ, Θεόπομπον γὰρ τὸν ἐκ τῆς Χίου καὶ τὸν Κυμαῖον Ἔφορον οὔτ' ἂν διαβάλοιμι οὔτ' ἂν θαυμάσαιμι. οἱ δὲ ἡγούμενοι τὴν κωμῳδίαν καθάπτεσθαι τοῦ ἀνδρός, ὡς αὐλοποιοῦ, ἁμαρτάνουσιν, πατὴρ μὲν γὰρ αὐτῷ Θεόδωρος ἦν, ὃν ἐκάλουν αὐλοποιὸν Ἀθήνησιν, αὐτὸς δὲ οὔτε αὐλοὺς ἐγίγνωσκεν οὔτε ἄλλο τι τῶν ἐν βαναυσίοις, οὐδὲ γὰρ ἂν οὐδὲ τῆς ἐν Ὀλυμπίᾳ εἰκόνος ἔτυχεν, εἴ τι τῶν εὐτελῶν

ε

1. ὑπερεβάλλετο. γ, o. ὑπερεβάλετο λ, π, G. ὑπερβάλετο. p. (sic) ὑπερβάλετο. v, h, e. ib. ῥυθμῷ. μ, λ, π. ib. ταχυτῆτι. γ, G, h, e, m. ib. λόγου καὶ. f. 2. ἐπεστρωμένη. R. ἐπεστρατευμένη. v, β, γ, G. ἐπιστραμμένη. g. ib. ἁβροτέρα καὶ. f, γ. 3. ποιούμεθα. k. ποιώμεθα. G. ib. τῆς Δημ. R, f, k, v, β, μ, h, γ, G. τῆς μὲν Δημ. 3, E. ib. δεινότητος 2, e, m. ubi γρ. σεμνότητος. deletum a B. ib. πέρας γὰρ. h, g. 4. καὶ ἐν. v. ib. αὐτὸν. h, G.

η

ib. τηρεῖ h. τηρεῖ. G (sic) 5. προβαλομένους. μ, λ. προσβαλλομένους. o. 6. ἃ ἂν ὁ θεὸς. 1, β, γ, G ut Schol. Il. Ἐ. 233. ἃ ὁ θ. v. ὅ τι ἂν ὁ θ. 2, 3, E. ib. δεινότης. μ. 7. κειμένης om. ve, o. ib. δίχα τετμημένης om. γ, G. 9. πρῶτον Δία. R. 10. πολεμικά. f. 11. τῶν Ἀθ. k. ib. σοφότερον. h, λ. ib. ἑτέρου om. μ. ἑτέρου ἀγορεύοντος. R. 13. ἔγραφεν. f. ib. ἑτέρου ἀγορεύοντος Ἀθηναίους. R. 14. τῆς θαλάττης. R, f, v, β, γ, G. ἐκ τῆς θαλάττης. ς. ib. Deleverim ὁ. 15. Ὀλυμπιασί. R. Ὀλυμπιᾶσι. h. Ὀλυμπιάσι. ς. (Ὀλυμπιάσιν. o.) ib. ἐπὶ τὴν Ἑλλάδα. γ, G. ib. πανσάμενος. e, m. 16. λόγος. R. ib. αἰτίαν om. γ, G. ib. δ' ὅμως. μ. ib. παρέδωκεν. 1, o. παραδέδωκεν. 2, 3, E. ib. ὡς

ους

ἑαυτὸν Γοργίᾳ. λ. 17. τεθεὶς. h. ib. τῶν om. f. 18. Λακεδαιμονίους. γ, G. Λακεδαιμονίοις. p. Λακεδαιμονίοις. 1, 2, φ, π, g, e, m. Λακεδαιμόνιον. o. 19. τὰ om. R, f, k, non γ, G, v, β, 2, 3, E. 20. θυμῶδες. v, h, φ, g, e et m. γρ. ib. καὶ τὸ περὶ τὰς βοῦς. μ. ib. συνεπίστροφον. o. 21. ἑρμηνεῦσθαι. R. ἡρμηνεῦσθαι. ς. ib. ὁ δ' Ἀμάρτυρος. G. ib. κεκολασμένων. k. κεκολασμένον. h. κεκολασμένος. g.

23. ἄκρυαταὶ δὲ. m, o. ib. πολλοὶ μὲν, ἐλλογιμώτατος δὲ. v, β, γ, G, g, m, o. πολλοὶ μὲν καὶ ἄλλοι, ἐλλογιμώτατοι δὲ. R. πολλοὶ μὲν, ἐλλογιμώτατοι δὲ. f, ρ, k, p, φ, h, e. 24. δὲ τὸν. 2. ib. ἐκ τῆς Χίου. f. ἐκ τῆς αὐτῆς

.....

Χίου sic del. k. ἐκ Χίου. ς. ib. διαβάλλοιμι. E. ib οὔτ' ἂν θαυμάσαιμι om. R, f, γ, G. οὔτ' ἂν θαυμάσοιμι. k. 25. τοῦ ἀνδρὸς. γ, G. τοῦ ἀνδρὸς Ἰσοκράτους. R, f, β. fuitque in ρ, ubi ἀνδρὸς nunc erasum est. τοῦ Ἰσοκράτους. v, k, 2, 3, E. 27. ἐν βαναυσίοις. R, f, k et p ex corr. ἐν βαναύσοις. γ, G, 2, 3, E. ib. οὐδὲ γὰρ. 1, γ, G. οὐ γὰρ. 2, 3, E. ib. ἐν Ὀλυμπίῳ. o.

1, 17, §. 2, 3, 4. p. 505. 506. = 21. 22. 23.

εἰργάζετο. ἀπέθανε μὲν οὖν Ἀθήνησιν ἀμφὶ τὰ ἑκατὸν ἔτη, ἕνα δὲ αὐτὸν ἡγώμεθα τῶν ἐν πολέμῳ ἀποθανόντων, ἐπειδὴ μετὰ Χαιρώνειαν ἐτελεύτα μὴ καρτερήσας τὴν ἀκρόασιν τοῦ Ἀθηναίων πταίσματος.

ιή. Περὶ δὲ Αἰσχίνου τοῦ Ἀτρομήτου, ὃν φαμεν τῆς δευτέρας σοφιστικῆς ἄρξαι, τάδε 507
χρὴ ἐπεσκέφθαι· ἡ Ἀθήνησι δημαγωγία διειστήκει πᾶσα, καὶ οἱ μὲν βασιλεῖ ἐπιτήδειοι ἦσαν, οἱ 5
δὲ Μακεδόσιν, ἐφέροντο δὲ ἄρα τὴν πρώτην τῶν μὲν βασιλεῖ χαριζομένων ὁ Παιανιεὺς Δημοσθένης, τῶν δὲ ἐς Φίλιππον ὁρώντων ὁ Κοθωκίδης Αἰσχίνης, καὶ χρήματα παρ' ἀμφοῖν ἐφοίτα σφίσι, βασιλέως μὲν ἀσχολοῦντος δι' Ἀθηναίων Φίλιππον τὸ μὴ ἐπὶ Ἀσίαν ἐλάσαι, Φιλίππου δὲ πειρωμένου διαλύειν τὴν ἰσχὺν Ἀθηναίων, ὡς ἐμπόδισμα τῆς διαβάσεως. διαφορᾶς δ' ἦρξεν Αἰσχίνῃ καὶ Δημοσθένει καὶ αὐτὸ μὲν τὸ ἄλλον ἄλλῳ βασιλεῖ πολιτεύειν, ὡς δ' ἐμοὶ φαίνεται, τὸ 10
ἐναντίως ἔχειν καὶ τῶν ἠθῶν, ἐξ ἠθῶν γὰρ ἀλλήλοις ἀντιξόων φύεται μῖσος αἰτίαν οὐκ ἔχον. ἀντιξόω δ' ἦστην καὶ διὰ τάδε· ὁ μὲν Αἰσχίνης φιλοπότης τε ἐδόκει καὶ ἡδὺς καὶ ἀνειμένος καὶ πᾶν τὸ ἐπίχαρι ἐκ Διονύσου ῥηκώς, καὶ γὰρ δὴ καὶ τοῖς βαρυστόνοις ὑποκριταῖς τὸν ἐν μειρακίῳ χρόνον ὑπετραγῴδησεν, ὁ δ' αὖ συννενοφώς τε ἐφαίνετο καὶ βαρὺς τὴν ὀφρὺν καὶ ὕδωρ πίνων, 508
ὅθεν ἐν δυσκόλοις τε καὶ δυστρόποις ἐπεγράφετο, καὶ πολλῷ πλέον, ἐπειδὴ πρεσβεύοντε ξὺν ἑτέροις 15
παρὰ τὸν Φίλιππον καὶ ὁμοδιαίτω ὄντε ὁ μὲν διακεχυμένος τε καὶ ἡδὺς ἐφαίνετο τοῖς συμπρέσβεσιν, ὁ δὲ κατεσκληκώς τε καὶ ἀεὶ σπουδάζων. ἐπέτεινε δὲ αὐτοῖς τὴν διαφορὰν ὁ ὑπὲρ Ἀμφιπόλεως ἐπὶ τοῦ Φιλίππου λόγος, ὅτε δὴ ἐξέπεσε μὲν τοῦ λόγου ὁ Δημοσθένης, ὁ δ' Αἰσχίνης οὐδὲ τῶν ἀποβεβλημένων ποτὲ τὴν ἀσπίδα ἐνθυμουμένῳ τὸ ἐν Ταμύναις ἔργον, ἐν ᾧ Βοιωτοὺς ἐνίκων Ἀθηναῖοι· ἀριστεῖα τούτου δημοσίᾳ ἐστεφανοῦτο τά τε ἄλλα καὶ χρησάμενος ἀμηχάνῳ τάχει περὶ 20
τὰ εὐαγγέλια τῆς νίκης. διαβάλλοντος δὲ αὐτὸν Δημοσθένους, ὡς αἴτιον τοῦ Φωκικοῦ πάθους, 11
ἀπέγνωσαν Ἀθηναῖοι τὴν αἰτίαν, ἐπὶ δὲ τῷ καταψηφισθέντι Ἀντιφῶντι ἦλω μὴ κριθείς, καὶ ἀφείλοντο αὐτὸν οἱ ἐξ Ἀρείου πάγου τὸ μὴ οὐ συνειπεῖν σφισιν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ. καὶ μὴν καὶ πυλαγόρας ἀναρρηθεὶς οὕπω παρὰ τοῖς πολλοῖς διαπέφευγε τὸ μὴ οὐκ αὐτὸς Ἐλατείᾳ ἐπιστῆσαι τὸν Φίλιππον τὴν Πυλαίαν συνταράξας εὐπροσώποις λόγοις καὶ μύθοις. Ἀθηνῶν δὲ 25
ὑπεξῆλθεν οὐχὶ φεύγειν προσταχθείς, ἀλλ' ἀτιμίᾳ ἐξιστάμενος, ᾗ ὑπήγετο ὑπὸ Δημοσθένει καὶ Κτησιφῶντι ἐκπεσὼν τῶν ψήφων. ἡ μὲν δὴ ὁρμὴ τῆς ἀποδημίας αὐτῷ παρὰ τὸν Ἀλέξανδρον ἦν,

1. οὖν om. 2, φ, λ, e. ib. ἡγούμεθα. G. 2. μετὰ Χαιρώνειαν. 1, p, γ, G. μετὰ τὰ κατὰ Χαιρώνειαν. 2, φ, π, g, E (Χερώνειαν. v, φ, e.) ib. μὴ καρρήσας. μ. ib. τοῦ πταίσματος τῶν Ἀθηναίων. R. τοῦ τῶν Ἀθ. πταίσματος. v.

5. ἀπεσκέφθαι. R. ἐπεσκέφθαι. h. ib. ἦσαν om. R. καὶ οἱ μὲν βασιλεῖ ἐπιτήδειοι, οἱ δὲ Μακεδόσιν ἦσαν. β. 6. Παιανεύς. ox, h pr. m. 7. τῶν δὲ — Αἰσχίνης om. v. ib. παρ' ἀμφοῖν. f, β, μ, h. παρὰ ἀμφοῖν. ς. 8. ἐπὶ Ἀσίαν. 1. ἐπὶ τὴν Ἀσίαν. 2, 3, E. 9. διαλύειν. 1 et p ex corr. παραλύειν. 2, 3, E. ib. τὴν Ἀθηναίων ἰσχύν 1. τὴν ἰσχὺν Ἀθηναίων. 2, 3, E. 10. τὸ αὐτὸ μὲν. ox. οὐκ αὐτὸ μὲν. o. ib. ὡς δ' ἐμοὶ — ἠθῶν om. R, f. 11. ἐναντίας. p. ib. καὶ τῶν ἠθῶν. β. τῶν ἠθῶν. 2, 3, E. 12. ἦσθην. R. ἔστην. μ. ἦτην. E. ib. καὶ διὰ τάδε. 1. διὰ τάδε. 2, 3, E. ib. φιλοπότης τε. π, g. 14. χρόνον χορὸν. v, m, ox. et Bonf. temporis chorum. ib. αὖ συννενηφώς τε ἐφαίνετο. f, ρ, k, ve. ἦν νενηφὼς ἐφαίνετο. R. αὖ νενηφώς τε ἐφαίνετο. 2, 3, E. Scr: συννενοφώς τε ἐφαίνετο. 15. ἐν δυσχόλοις. μ. τε om. μ, ox. ib. ἐπεγράφετο. 1, ve et p ex corr. ἐγράφετο. 2, 3, E. Fo: ὅθεν δυσκόλοις — ἐνεγράφετο. ib. ἐπειδὴ om. v. ib. πρεσβεύοντες. k. 16. ὄντες. k, v. ὄντοιν. μ. ib. συμπρέσβεσιν. f, β. συνπρέσβεσιν. R. συμπρεσβευσιν k et p ex corr. πρεσβεύουσιν. μ. συμπρεσβεύουσιν. ς. 17. ὁ δὲ — σπουδάζων om. μ. ib. δ' αὐτοῖς. E. δὲ αὐτοῖς. μ. 18. ἐπὶ et λόγος om. R. lacuna relicta. ib. ὅτε δ'. f. 19. ἀποβεβλημένων. 1. ἀποβεβληκότων. 2, 3, E. ib. τὴν ἀσπίδα. R, f, k, β et p ex corr. ἀσπίδα. ς. ib. ἐνθυμουμένων. R, f et ρ ubi mg. γρ. ἐνθυμούμενος. Hoc est in k ἀλλὰ ἐνθυμούμενος. 2, 3, E. ἐνθυμουμένους. β. Scr: ἐνθυμουμένῳ. 20. παρὰ. R. 21. διαγγελόντος. R. ib. Φωκαικοῦ. R, f, k. 22. ἤδη μὴ. R. ἦλω μὴ. f, k, β et p ex corr. ἦλω. 2, 3, E. 23. τὸ μὴ οὐ. 1 et p ex corr. τὸ μὴ. v, ox, h, 3, E. τὸ συνειπεῖν. μ. 24. ἀναρρηθεὶς. C praeter φ, ubi ἀνακρηθεὶς, inde ἀνακριθείς. E. ib. οὐκ om. o. 25. περιστῆσαι. R. ib. λόγοις ἢ μύθοις. g. ib. Ἀθηναίων. R. ib. δὲ ὑπεξῆλθεν. f. ἐπεξῆλθεν. R. 26. ὑπεξιστάμενος. μ. ib. ἧς ὑπήγετο. g. 27. ἐκπεσόντων. R. ib. αὐτοῦ. R.

1, 18, §. 1, 2. p. 507. 508. = 23. 24.

ὡς αὐτίκα ἥξοντα ἐς Βαβυλῶνά τε καὶ Σοῦσα, καθορμισθεὶς δὲ ἐς τὴν Ἔφεσον καὶ τὸν μὲν τεθνάναι ἀκούων, τὰ δὲ τῆς Ἀσίας αὐτῷ ξυγκεκλυσμένα πράγματα, Ῥόδου εἴχετο, ἡ δὲ νῆσος ἀγαθὴ ἐνσπουδάσαι, καὶ σοφιστῶν φροντιστήριον ἀποφήνας τὴν Ῥόδον αὐτοῦ διητᾶτο θύων ἡσυχίᾳ τε καὶ Μούσαις καὶ Δωρίοις ἤθεσιν ἐγκαταμιγνὺς Ἀττικά.

III 5 Τὸν δὲ αὐτοσχέδιον λόγον ξὺν εὐροίᾳ καὶ θείως διατιθέμενος τὸν ἔπαινον τοῦτον πρῶτος ἠνέγκατο. τὸ γὰρ θείως λέγειν οὔπω μὲν ἐπεχωρίασε σοφιστῶν σπουδαῖς, ἀπ' Αἰσχίνου δ' ἤρξατο θεοφορήτῳ ὁρμῇ ἀποσχεδιάζοντος, ὥσπερ οἱ τοὺς χρησμοὺς ἀναπνέοντες. ἀκροατὴς δὲ Πλάτωνός τε καὶ Ἰσοκράτους γενόμενος πολλὰ καὶ παρὰ τῆς ἑαυτοῦ φύσεως ἠγάγετο. σαφηνείας τε γὰρ φῶς
510 ἐν τῷ λόγῳ καὶ ἁβρὰ σεμνολογία καὶ τὸ ἐπίχαρι σὺν δεινότητι καὶ καθάπαξ ἡ ἰδέα τοῦ λόγου
10 κρείττων ἢ μιμήσει ὑπαχθῆναι.

IV Λόγοι δ' Αἰσχίνου κατ' ἐνίους μὲν καὶ τέταρτός τις Δηλιακὸς καταψευδόμενος τῆς ἐκείνου γλώττης· οὐ γὰρ ἄν ποτε τοὺς μὲν περὶ τὴν Ἀμφισσαν λόγους, ὑφ' ὧν ἡ Κιρραία χώρα καθιερώθη, εὐπροσώπως τε καὶ ξὺν ὥρᾳ διέθετο κακὰ βουλεύων Ἀθηναίοις, ὥς φησι Δημοσθένης, ἐπὶ δὲ τοὺς Δηλιακοὺς μύθους, ἐν οἷς θεολογία τε καὶ θεογονία καὶ ἀρχαιολογία, φαύλως οὕτως
15 ὥρμησε καὶ τοῦτο προαγωνιζόμενος Ἀθηναίων οὐ μικρὸν ἀγώνισμα ἡγουμένων τὸ μὴ ἐκπεσεῖν τοῦ ἐν Δήλῳ ἱεροῦ. τρισὶ δὴ λόγοις περιωρίσθω ἡ Αἰσχίνου γλῶττα· τῷ τε κατὰ Τιμάρχου καὶ τῇ ἀπολογίᾳ τῆς πρερβείας καὶ τῇ τοῦ Κτησιφῶντος κατηγορίᾳ. ἔστι δὲ καὶ τέταρτον αὐτοῦ φρόν-
V τισμα, ἐπιστολαί, οὐ πολλαὶ μέν, εὐπαιδευσίας δὲ μεσταὶ καὶ ἤθους. τοῦ δὲ ἠθικοῦ καὶ Ῥοδίοις ἐπίδειξιν ἐποιήσατο· ἀναγνοὺς γάρ ποτε δημοσίᾳ τὸν κατὰ Κτησιφῶντος οἱ μὲν ἐθαύμαζον, ὅπως
20 ἐπὶ τοιούτῳ λόγῳ ἠττήθη καὶ καθήπτοντο τῶν Ἀθηναίων ὡς παρανοούντων, ὁ δὲ „οὐκ ἂν" ἔφη „ἐθαυμάζετε, εἰ Δημοσθένους λέγοντος πρὸς ταῦτα ἠκούσατε", οὐ μόνον ἐς ἔπαινον ἐχθροῦ καθιστάμενος, ἀλλὰ καὶ τοὺς δικαστὰς ἀφιεὶς αἰτίας.

511 ιθ'. Ὑπερβάντες δ' Ἀριοβαρζάνην τὸν Κίλικα καὶ Ξενόφρονα τὸν Σικελιώτην καὶ Πειθαγόραν τὸν ἐκ Κυρήνης, οἳ μήτε γνῶναι ἱκανοὶ ἔδοξαν, μήθ' ἑρμηνεῦσαι τὰ γνωσθέντα, ἀλλ' ἀπορίᾳ
25 γενναίων σοφιστῶν ἐσπουδάσθησαν τοῖς ἐφ' ἑαυτῶν Ἕλλησιν, ὅν που τρόπον τοῖς σίτου ἀποροῦσιν οἱ ὄροβοι, ἐπὶ Νικήτην ἴωμεν τὸν Σμυρναῖον. οὗτος γὰρ ὁ Νικήτης παραλαβὼν τὴν ἐπιστήμην ἐς στενὸν ἀπειλημμένην ἔδωκεν αὐτῇ παρόδους πολλῷ λαμπροτέρας ὧν αὐτὸς τῇ Σμύρνῃ ἐδείματο, συνάψας τὴν πόλιν ταῖς ἐπὶ τὴν Ἔφεσον πύλαις καὶ διὰ μέγεθος ἀντεξάρας λόγοις ἔργα. ὁ δὲ ἀνὴρ οὗτος τοῖς μὲν δικανικοῖς ἀμείνων ἐδόκει τὰ δικανικά, τοῖς δὲ σοφιστικοῖς τὰ σοφιστικὰ ὑπὸ

1. ἥξαντα. R, f, k. ib. Βαβυλῶ. v. ib. Μοῦσα. μ. ib. δὲ om. f, k. ib. καὶ τὰ μὲν. π, g. 2. Ἀσίας αὐτοῦ. R. α An Ἀσίας ἀθρόως ξ. ?. ib. ξυγκεκλυσμένα. 1, o. ξυγκεκλεισμένα. 2, φ, π, g, e, m. ξυγκεκλεισμένα. p. 3. ἡσυχίᾳ τε θύων. R. θύων ἡσυχίᾳ τε. f, β, v, m, g. θύων ἡσυχίᾳ. ς. 4. ἐγκαταμιγνείς. p et mg. ῥοδίοις. σα

5. εὐρροίᾳ. p. ib. πρῶτον. e, m. 7. ἀκρ. καὶ Πλάτωνος καὶ Ἰσοκρ. β. 8. πολλὰ δὲ παρὰ. k. ib. γὰρ φῶς. p. 9. ἐν τῷ λόγῳ ἔπαινος Αἰσχίνου. ρ, k et R. in mg., o.

11. λόγων. μ, v. λόγῳ. h. λόγος. ox. 12. Κυρραία. π, g. 13. ὥσπερ φησι. p. 14. μύθους om. 2, 3 (p a pr. m.), E. 15. μικρῶν p. σμικρὸν. h. ib. ἀγώνισμα om. 2, 3 (p a pr. m.), E. ib. τοῖς μὴ. R, v, β. 16. τρισὶ δὴ. 1. τρισὶ δὲ. 2, 3, E. ib. περιορίσθω. m, ox. ib. καὶ τῇ ἀπολογίᾳ. v, E. καὶ ἀπολογίᾳ. C. 17. καὶ τοῦ. h. ib. ἔτι. k. 18. δέ γε μεσταὶ. R. μέν γε μεσταί. β. ib. Ῥοδίοις om. h. 19. καλλίστην ἐπίδειξιν. 2, φ ex corr. E. ib. κατὰ μ τοῦ. 2. 20. παρανοούντων. r, p ex corr. ve. παρανοούντων. f corr. sec. m. παρανομούντων ς. 21. ἐθαυμάζετο. h. ib. εἰ Δ. παρόντος ἠκούετε. R.

23. ὑπερβάντες δ' Ἀριοβαρζάνην. R, β. ὑπερβάντες Ἀρ. ς. Ἀριβαρζάνην. 2, 3, E. ib. Πειθαγόραν. 1, ve. Πυθαγόραν. ς. 24. Κυρίνης. r. 25. ἐφ' αὐτῶν. r. 26. οὗτος γὰρ ὁ Νικήτης p ex corr. οὗτος γὰρ (om. ὁ Νικήτης). ς. 27. λαμπροτέραν. R. 29. τοῖς δὴ. v.

1, 18, §. 3, 4, 19. p. 510. 511. = 24. 25. 26.

τοῦ περιδεξίως τε καὶ πρὸς ἅμιλλαν ἐς ἄμφω ἡρμόσθαι. τὸ μὲν γὰρ δικανικὸν σοφιστικῇ περιβολῇ ἐκόσμησεν, τὸ δὲ σοφιστικὸν κέντρῳ δικανικῷ ἐπέρρωσεν. ἡ δὲ ἰδέα τῶν λόγων τοῦ μὲν ἀρχαίου καὶ πολιτικοῦ ἀποβέβηκεν, ὑπόβακχος δὲ καὶ διθυραμβώδης, τὰς δ' ἐννοίας ἰδίας τε καὶ παραδόξους ἐκδίδωσιν, ὥσπερ οἱ βακχεῖοι θύρσοι τὸ μέλι καὶ τοὺς ἐσμοὺς τοῦ γάλακτος.

Μεγάλων δ' ἀξιούμενος, τῆς Σμύρνης τί οὐκ ἐπ' αὐτῷ βοώσης ὡς ἐπ' ἀνδρὶ θαυμασίῳ καὶ ῥήτορι, οὐκ ἐθάμιζεν ἐς τὸν δῆμον, ἀλλ' αἰτίαν παρὰ τοῖς πολλοῖς ἔχων φόβου „φοβοῦμαι" ἔφη „δῆμον ἐπαίροντα μᾶλλον ἢ λοιδορούμενον." τελώνου δὲ θρασυναμένου ποτὲ πρὸς αὐτὸν ἐν δικαστηρίῳ καὶ εἰπόντος „παῦσαι ὑλακτῶν με" μάλα ἀστείως ὁ Νικήτης „νὴ Δία", εἶπεν „ἦν καὶ σὺ παύσῃ δάκνων με." 5 11

Ἡ δὲ ὑπὲρ Ἄλπεις τε καὶ Ῥῆνον ἀποδημία τοῦ ἀνδρὸς ἐγένετο μὲν ἐκ βασιλείου προστάγματος, αἰτία δὲ αὐτῆς ἥδε· ἀνὴρ ὕπατος, ᾧ ὄνομα Ῥοῦφος, τοὺς Σμυρναίους ἐλογίστευε πικρῶς καὶ δυστρόπως. τούτῳ τι προσκρούσας ὁ Νικήτης „ἔρρωσο", εἶπεν, καὶ οὐκέτι προσῄει δικάζοντι. τὸν μὲν δὴ χρόνον, ὃν μιᾶς πόλεως ἦρξεν, οὕπω δεινὰ πεπονθέναι ᾤετο, ἐπιτραπεὶς δὲ τὰ Κελτικὰ στρατόπεδα ὀργῆς ἀνεμνήσθη — αἱ γὰρ εὐπραγίαι τά τε ἄλλα τοὺς ἀνθρώπους ἐπαίρουσι καὶ τὸ μηκέτι καρτερεῖν, ἃ πρὶν εὖ πράττειν ἀνθρωπίνῳ λογισμῷ ἐκαρτέρουν — καὶ γράφει πρὸς τὸν αὐτοκράτορα Νερούαν πολλὰ ἐπὶ τὸν Νικήτην καὶ σχέτλια. καὶ ὁ αὐτοκράτωρ „αὐτὸς" εἶπεν „ἀκροάσει ἀπολογουμένου, κἂν ἀδικοῦντα εὕρῃς, ἐπίθες δίκην." ταυτὶ δὲ ἔγραφεν οὐ τὸν Νικήτην ἐκδιδούς, ἀλλὰ τὸν Ῥοῦφον ἐς συγγνώμην ἑτοιμάζων, οὐ γὰρ ἄν ποτε ἄνδρα τοιοῦτον ἐφ' ἑαυτῷ γεγονότα οὔτ' ἂν ἀποκτεῖναι ὁ Ῥοῦφος, οὔτ' ἂν ἕτερον ξημιῶσαι οὐδέν, ὡς μὴ φανείη βαρὺς τῷ καθιστάντι αὐτὸν δικαστὴν ἐχθροῦ. διὰ μὲν δὴ ταῦτα ἐπὶ Ῥῆνόν τε καὶ Κελτοὺς ἦλθεν, παρελθὼν δὲ ἐπὶ τὴν ἀπολογίαν οὕτω τι κατέπληξε τὸν Ῥοῦφον, ὡς πλείω μὲν ἀφεῖναι ἐπὶ τῷ Νικήτῃ δάκρυα οὗ διεμέτρησεν αὐτῷ ὕδατος, ἀποπέμψαι δὲ οὐκ ἄτρωτον μόνον, ἀλλὰ καὶ περίβλεπτον καὶ ἐν τοῖς ζηλωτοῖς Σμυρναίων. τὸν δὲ ἄνδρα τοῦτον χρόνοις ὕστερον Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς διορθούμενος ἐπέγραψε Νικήτην τὸν κεκαθαρμένον, ἠγνόησε δὲ ἀκροθίνια Πυγμαῖα κολοσσῷ ἐφαρμόζων. 10 512 15 20 25

κ'. Ἰσαῖος δὲ ὁ σοφιστὴς ὁ Ἀσσύριος τὸν μὲν ἐν μειρακίῳ χρόνον ἡδοναῖς ἐδεδώκει, γαστρός τε γὰρ καὶ φιλοποσίας ἥττητο καὶ λεπτὰ ἠμπίσχετο καὶ θαμὰ ἥρα καὶ ἀπαρακαλύπτως ἐκώμαζεν, ἐς δὲ ἄνδρας ἥκων οὕτω τι μετέβαλεν, ὡς ἕτερος ἐξ ἑτέρου νομισθῆναι, τὸ μὲν γὰρ φιλόγελων ἐπιπολάζειν αὐτῷ δοκοῦν ἀφεῖλε καὶ προσώπου καὶ γνώμης, λυρῶν τε καὶ αὐλῶν κτύποις οὐδ' 513

1. ἥρμοσται. h. ib. σοφιστικῇ περιβολῇ. r et p. ex corr. σοφιστικῇ τινι περιβολῇ. ς. 2. τὸ δὲ σοφιστικὸν om. π, g. σοφιστικῷ. f. ib. ἡ δὴ ἰδέα. v. ib. τοῦ λόγου. μ. suprascr. ων. 3. ὑποβέβηκεν. π, g. ib. ὑπόβακχος δὲ καὶ. 1. ὑπόβακχος γάρ ἐστι καὶ. μ, v. ὑπόβακχος γὰρ καὶ. ox, h, 3, E. 4. ἐμοὺς. h. νασμοὺς. B.

5. ἀξιούμενος τῆς. R, r, f. ἀξιούμενος καὶ τῆς. ρ, k, β, 2, 3, E. ib. ὡς μετ' ἀνδρὶ. π. 6. φόβου. R, r, f. μαι φόβοῦ ρ. (sic.) φοβούμεναι. k. φοβοῦμαι. β, 2, 3, E. Ex diversis lectionibus integravi locum scribens φόβου „φοβοῦμαι" ἔφη. 7. θρασυναμένου. r, f, β, ve. θρασυνομένου. R, k, 2, 3, E. 8. νὴ Δία om. 2, 3, e, m. ib. εἶπεν. 1. ἔφη. 2, 3, E. 9. δάκνων με. R. δάκνων. ς.

10. Ἄλπεις τε καὶ Κυρήνην R, r, f. Ἄλπης τε καὶ Κυρήνην. k. et p in mg. γρ. Κυρήνην. 11. δ' αὐτῆς. r. ib. ᾧ ὄνομα Κλαύδιος Ῥοῦφος. R. 12. εἶπεν καὶ. R, f. 13. μὲν γὰρ δὴ. R. χρόνον μιᾶς. r, f. 14. στρατόπαιδα. r. ib. τότε γ' ἄλλα. μ, h, π, g. 15. ἐκαρτέρει. R, f, ρ, k, β. ib. πρὸς τὸν αὐτοκρ. r, f, β, p. πρὸς αὐτὸν αὐτοκρ. k. πρὸς αὐτοκρ. ς. γράφειν. h. 16. Νέρωνα. h. ἔρωνα πολλὰ καὶ σχέτλια. R. Νέρβαν. r. 17. ἀκροάσει. R, r. ἀκροάσῃ. ς. ib. ταυτὶ δὴ. v. 18. διδοὺς. g. ib. Ῥοῦφον φανεὶς συγγνώμην. β. ib. ἐφ' ἑαυτῷ. r, 3, E. ὑφ' ἑαυτῷ. R, f, k, β, 2. 19. μηδὲν. p. 20. Κελτὸν ἦλθεν. R. ib. παρελθὼν δ'. E. παρελθὼν δὲ. μ, h. 21. οὕτω τοι. μ, p. 23. καὶ ἐν τοῖς. 1. ἐν τοῖς. 2, 3, E. 24. ἔγραψεν. f. ib. Σ. s. v. ἀκροθίνια· Ἡρακλείδης ὁ Λύκιος σοφιστὴς ἔφη· Νικήτης ὁ κεκαθαρμένος, ἀγνοήσας ἀκροθίνια Πυγμαίων κολοσσῷ ἐφαρμόζειν. ib. ἀκροθήνια. r, k.

26. ὁ σοφιστὴς Ἀσσύριος. R. 27. ἀπαρακωλύπτως. f, k. 28. οὕτω τοι. μ, h. οὕτω μετέβαλεν. R. 29. πρόσωπον καὶ γνώμην. g.

ἐπὶ σκηνῆς ἔτι παρετύγχανεν, ἀπέδυ δὲ καὶ τὰ λήδια καὶ τὰς τῶν ἐφεστρίδων βαφὰς καὶ τράπεζαν ἐκόλασε καὶ τὸ ἐρᾶν μετέθηκεν, ὥσπερ τοὺς προτέρους ὀφθαλμοὺς ἀποβαλών· Ἄρδυος γοῦν τοῦ ῥήτορος ἐρομένου αὐτόν, εἰ ἡ δεῖνα αὐτῷ καλὴ φαίνοιτο, μάλα σωφρόνως ὁ Ἰσαῖος „πέπαυμαι“ εἶπεν „ὀφθαλμιῶν“. ἐρομένου δὲ αὐτὸν ἑτέρου, τίς ἄριστος τῶν ὀρνίθων καὶ τῶν ἰχθύων ἐς βρῶσιν, „πέπαυμαι“ ἔφη ὁ Ἰσαῖος „ταῦτα σπουδάζων, ξυνῆκα γὰρ τοὺς Ταντάλου κήπους τρυγῶν“, ἐνδεικνύμενος δήπου τῷ ἐρομένῳ ταῦτα, ὅτι σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι.

11 Τῷ δὲ Μιλησίῳ Διονυσίῳ ἀκροατῇ ὄντι τὰς μελέτας ξὺν ᾠδῇ ποιουμένῳ ἐπιπλήττων ὁ Ἰσαῖος „μειράκιον“ ἔφη „Ἰωνικόν, ἐγὼ δέ σε ᾄδειν οὐκ ἐπαίδευσα.“ νεανίσκου δὲ Ἰωνικοῦ θαυμάζοντος πρὸς αὐτὸν τὸ τοῦ Νικήτου μεγαλοφώνως ἐπὶ τοῦ Ξέρξου εἰρημένον „ἐκ τῆς βασιλείου νεὼς Αἰγιναν ἀναθησώμεθα“ καταγελάσας πλατὺ ὁ Ἰσαῖος „ἀνόητε“, εἶπεν, „καὶ πῶς ἀναχθήσῃ;“

514 Τὰς δὲ μελέτας οὐκ αὐτοσχεδίους ἐποιεῖτο, ἀλλ' ἐπεσκεμμένας τὸν ἐξ ἕω ἐς μεσημβρίαν καιρόν. ἰδέαν δ' ἐπήσκησε λόγων οὔτ' ἐπιβεβλημένην, οὔτ' αὖον, ἀλλ' ἀπέριττον καὶ κατὰ φύσιν καὶ ἀποχρῶσαν τοῖς πράγμασιν. καὶ τὸ βραχέως ἑρμηνεύειν, τοῦτό τε καὶ πᾶσαν ὑπόθεσιν συνελεῖν ἐς βραχὺ Ἰσαίου εὕρημα, ὡς ἐν πλείοσι μὲν ἑτέροις, μάλιστα δὲ ἐν τοῖσδε ἐδηλώθη· τοὺς μὲν γὰρ Λακεδαιμονίους ἀγωνιζόμενος τοὺς βουλευομένους περὶ τοῦ τείχους ἀπὸ τῶν Ὁμήρου ἐβραχυλόγησε τοσοῦτον·

„ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·

οὕτω στῆτέ μοι, Λακεδαιμόνιοι, καὶ τετειχίσμεθα.“ κατηγορῶν δὲ τοῦ Βυζαντίου Πύθωνος, ὡς δεθέντος μὲν ἐκ χρησμῶν ἐπὶ προδοσίᾳ, κεκριμένης δὲ τῆς προδοσίας, ὡς ἀνέξευξεν ὁ Φίλιππος, ξυνέλαβε τὸν ἀγῶνα τοῦτον ἐς τρεῖς ἐννοίας, ἔστι γὰρ τὰ εἰρημένα ἐν τρισὶ τούτοις· „ἐλέγχω Πύθωνα προδεδωκότα τῷ χρήσαντι θεῷ, τῷ δήσαντι δήμῳ, τῷ ἀναξεύξαντι Φιλίππῳ, ὁ μὲν γὰρ οὐκ ἂν ἔχρησεν, εἰ μή τις ἦν, ὁ δὲ οὐκ ἂν ἔδησεν, εἰ μὴ τοιοῦτος ἦν, ὁ δὲ οὐκ ἂν ἀνέξευξεν, εἰ μὴ δι' ὃν ἦλθεν, οὐχ εὗρεν.“

κά. Ὑπὲρ Σκοπελιανοῦ τοῦ σοφιστοῦ διαλέξομαι καθαψάμενός πρότερον τῶν κακίζειν αὐτὸν πειρωμένων, ἀπαξιοῦσι γὰρ δὴ τὸν ἄνδρα τοῦ τῶν σοφιστῶν κύκλου διθυραμβώδη καλοῦντες καὶ ἀκόλαστον καὶ πεπαχυσμένον. ταυτὶ περὶ αὐτοῦ λέγουσιν οἱ λεπτολόγοι καὶ νωθροὶ καὶ μηδὲν ἀπ' αὐτοσχεδίου γλώττης ἀναπνέοντες· φύσει μὲν γὰρ ἐπίφθονον χρῆμα ἄνθρωποι· διαβάλλουσι γοῦν τοὺς μὲν εὐμήκεις οἱ μικροί, τοὺς δὲ εὐειδεῖς οἱ πονηροὶ τὸ εἶδος,

1. ἐπὶ σκηναῖς. R. ib. λῆδια. R, r, f, o. λίδια. k. λύδια. β, 2, 3, e, m. 2. μετέθηκεν. 1. μεθῆκεν. 2, 3, E. ib. οὖν. π. τοῦ om. m, o. 3. εἰ ἡ δεῖνα καλή. R. ib. πέπαυμαι ἔφη ὀφθαλμιῶν μάλα σωφρόνως ὁ Ἰσαῖος. R. 4. τῶν ὀρνίθων καὶ τῶν ἰχθύων. 1. τῶν ἰχθύων καὶ τῶν ὀρνίθων. 2, 3, E. 5. ὁ Ἰσαῖος om. β. 6. ἐρομένῳ αὐτῷ. β. ib. Σ. v. Ἰσαῖος· ὅτι Ἰσαίου τοῦ ῥήτορος νεωτέρου ἀσωτευομένου, ὕστερον δὲ σωφρονήσαντος ἤρετο αὐτόν τις· τίς ἄριστος τῶν ἰχθύων καὶ τῶν ὀρνέων – ὡς σκιαὶ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι. ὡς σκιαί etiam pe habet, cum Σ B, E.

7. Μιλησίῳ om. k. ib. ποιουμένου. R. 9. τὸ τοῦ Νικήτου. r, ρ, k, β. τὸ τοῦ Ψικήτου. R. τῷ τοῦ Νικήτου. f. τὸ τῷ Νικήτῃ. v, p, g, pe. τῷ Νικήτῃ (om. τὸ) h, E. τὸ τὸν Νικήτην. μ. ib. μεγαλοφρόνως. k. μεγαλοφόνως. h. ib. νεὼς. 1, ve, pe. νηὸς. 2, 3, E. 10. ἀνόητος. π, g.

11. ὡς αὐτοσχεδίους. o. ib. ἐπεσκεμμένους. k. ἐπεσκεμμένως. β. ἐπισκεμμένας. h. 12. οὔτε ἐπιβεβλημένην. μ. 13. καὶ βραχέως. 1. καὶ τὸ βραχέως. 2, 3, E. ib. τοῦτο καὶ. R. τοῦ τότε καὶ. r, f, ρ. τοῦτό τε καὶ. k (sic). τοῦτό τε om. β, 2, 3, E. ib. καὶ πᾶσαν. r et p ex corr. καὶ πᾶσαν τὴν. ς. 14. τοὺς γὰρ. μ. 15. ἀγωνιζομένους R, f, k, β. ib. καὶ βουλευομένους. R, f, k, β. τοὺς βουλομένους. m. ib. ἐβραχυλόγησεν. f. 16. τοσαῦτα. R. 17. ἀσπὶς δ' ἄρ'. R, π. ἀσπὶς ἀσπίδ'. k. ἀσπὶς ἄρ' ἐπ' ἀσπίδ'. μ. ib. καὶ κόρυς κόρυν. β. κόρης κόρη. h. 18. οὐ στῆτε. R. 19. ἐπὶ προδοσίᾳ ἐκ χρησμῶν. R. ἐκ χρησμοῦ. p. ib. τῆς om. R. 20. ξυνέβαλε. R, r, f, g, h. ib. εὐνοίας. β. ib. ἐν om. β. ib. ἐλέγχω. 1 (ἐλέγχων. R). ἐλέγξω. 2, 3, E. 21. ἀναζεύξαντι Φιλίππῳ δήμῳ. f. in r δήμῳ mg. habet. 23. ἐνέζευξεν. r. ἔζευξε. k.

24. καθαψόμενος. v. 25. αὐτῶν. k. ib. κύκνου. R. 26. ταυτί. R, r. ταυτὶ γὰρ. h. ταυτὶ δὲ. C reliqui. καὶ ταυτὶ δὲ. E. 27. ἀπ' αὐτοσχεδίου. 1, o. ὑπ' αὐτοσχεδίου. 2, 3, e, m. ib. ἀναπνέοντος. v. 28. γοῦν om. π. ib. ἀειδεῖς. k. εὐδεῖς. fe. εὐηδεῖς. h, m.

1, 20 2 21. p. 514. 515. = 27. 28. 29.

τοὺς δὲ κούφους τε καὶ δρομικοὺς οἱ βραδεῖς καὶ ἑτερόποδες, τοὺς θαρσαλέους οἱ δειλοὶ καὶ οἱ ἄμουσοι τοὺς λυρικούς, τοὺς δ' ἀμφὶ παλαίστραν οἱ ἀγύμναστοι, καὶ οὐ χρὴ θαυμάζειν, εἰ πεπηδημένοι τὴν γλῶττάν τινες καὶ βοῦν ἀφωνίας ἐπ' αὐτὴν βεβλημένοι καὶ μήτ' ἂν αὐτοί τι ἐνθυμηθέντες μέγα, μήτ' ἂν ἐνθυμηθέντος ἑτέρου ξυμφήσαντες διαπτύοιέν τε καὶ κακίζοιεν τὸν ἑτοιμότατα δὴ καὶ θαρραλεώτατα καὶ μεγαλειότατα τῶν ἐφ' ἑαυτοῦ Ἑλλήνων ἑρμηνεύσαντα. ὡς δὲ ἠγνοήκασι τὸν ἄνδρα, ἐγὼ δηλώσω, καὶ ὁποῖον αὐτῷ καὶ τὸ τοῦ οἴκου σχῆμα.

Ἀρχιερεὺς μὲν γὰρ ἐγένετο τῆς Ἀσίας αὐτός τε καὶ οἱ πρόγονοι αὐτοῦ παῖς ἐκ πατρὸς πάντες, II
ὁ δὲ στέφανος οὗτος πολὺς καὶ ὑπὲρ πολλῶν χρημάτων. δίδυμός τε ἀποτεχθεὶς ἄμφω μὲν ἦστην ἐν σπαργάνοις, πεμπταίων δὲ ὄντων κεραυνῷ μὲν ἐβλήθη ὁ ἕτερος, ὁ δὲ οὐδεμίαν ἐπηρώθη τῶν αἰσθήσεων ξυγκατακείμενος τῷ βληθέντι. καίτοι τὸ τῶν σκηπτῶν πῦρ οὕτω δριμὺ καὶ θεῖῶδες, ὡς τῶν ἀγχοῦ τοὺς μὲν ἀποκτείνειν κατ' ἔκπληξιν, τῶν δὲ ἀκοάς τε καὶ ὀφθαλμοὺς σίνεσθαι, τῶν δὲ ἐς τοὺς νοῦς ἀποσκήπτειν. ἀλλ' οὐδενὶ τούτων ὁ Σκοπελιανὸς ἥλω, διετέλεσε γὰρ δὴ καὶ ἐς γῆρας βαθὺ ἀκέραιός τε καὶ ἄρτιος. τουτὶ δὲ ὁπόθεν θαυμάζω, δηλῶσαί σοι βούλομαι· ἐδείπνουν μὲν κατὰ τὴν Λῆμνον ὑπὸ δρυὶ μεγάλῃ θερισταὶ ὀκτὼ περὶ τὸ καλούμενον Κέρας τῆς νήσου, τὸ δὲ χωρίον τοῦτο λιμήν ἐστιν ἐς κεραίας ἐπιστρέφων λεπτάς, νέφους δὲ τὴν δρῦν περισχόντος 516
καὶ σκηπτοῦ ἐς αὐτὴν ἐκδοθέντος ἡ μὲν ἐβέβλητο, οἱ θερισταὶ δὲ ἐκπλήξεως αὐτοῖς ἐμπεσούσης, ἐφ' οὗπερ ἔτυχεν ἕκαστος πράττων, οὕτως ἀπέθανεν, ὁ μὲν γὰρ κύλικα ἀναιρούμενος, ὁ δὲ πίνων, ὁ δὲ μάττων, ὁ δὲ ἐσθίων, ὁ δέ τι ποιῶν τὰς ψυχὰς ἀφῆκαν ἐπιτεθυμμένοι καὶ μέλανες, ὥσπερ οἱ χαλκοῖ τῶν ἀνδριάντων περὶ τὰς ἐμπύρους τῶν πηγῶν κεκαπνισμένοι. ὁ δὲ οὕτω τι οὐκ ἀθεεὶ ἐτρέφετο, ὡς διαφυγεῖν μὲν τὸν ἐκ τοῦ σκηπτοῦ θάνατον, ὃν μηδὲ οἱ σκληρότατοι τῶν ἀγροίκων διέφυγον, ἄτρωτος δὲ μεῖναι τὰς αἰσθήσεις καὶ τὸν νοῦν ἕτοιμος καὶ ὕπνου κρείττων, καὶ γὰρ δὴ καὶ τὸ νωθρὸν αὐτοῦ ἀπῆν.

Ἐφοίτησε δὲ τοὺς ῥητορικοὺς τῶν λόγων παρὰ τὸν Σμυρναῖον Νικήτην μελετήσαντα μὲν ἐπι- III
φανῶς, πολλῷ δὲ μεῖζον ἐν δικαστηρίοις πνεύσαντα. δεομένων δὲ τῶν Κλαζομενίων τὰς μελέτας αὐτὸν οἴκοι ποιεῖσθαι καὶ προβήσεσθαι τὰς Κλαζομενὰς ἐπὶ μέγα ἡγουμένων, εἰ τοιοῦτος ἀνὴρ ἐμπαιδεύσοι σφίσιν, τουτὶ μὲν οὐκ ἀμούσως παρητήσατο τὴν ἀηδόνα φήσας ἐν οἰκίσκῳ μὴ ᾄδειν, ὥσπερ δὲ ἄλσος τι τῆς ἑαυτοῦ εὐφωνίας τὴν Σμύρναν ἐσκέψατο καὶ τὴν ἠχὼ τὴν ἐκεῖ πλείστου ἀξίαν ᾠήθη. πάσης γὰρ τῆς Ἰωνίας οἷον μουσείου πεπολισμένης ἀρτιωτάτην ἐπέχει τάξιν ἡ Σμύρνα, καθάπερ ἐν τοῖς ὀργάνοις ἡ μαγάς.

Αἱ δὲ αἰτίαι, δι' ἃς ὁ πατὴρ ἐξ ἡμέρου τε καὶ πράου χαλεπὸς αὐτῷ ἐγένετο, λέγονται μὲν ἐπὶ 31 IV
πολλά, καὶ γὰρ ἡ δεῖνα καὶ ἡ δεῖνα καὶ πλείους, ἀλλ' ἐγὼ τὴν ἀληθεστάτην δήλωσω· μετὰ γὰρ

1. τοὺς δὲ κούφους. R, r, β, v. τοὺς κούφους. 2, 3, E. ib. καὶ μικροὺς. f, k. ib. τοὺς θαρσαλέους οἱ δειλοὶ om. R, r, f, in k, β leguntur post λυρικοὺς. ib. καὶ ἄμουσοι. k. 2. τοὺς δ' ἀμφὶ. 1. καὶ τοὺς ἀμφὶ. v, ox, h, 3, E. καὶ οἱ ἀμφὶ. μ. ib. καὶ οὓς χρὴ. g. 4. κακίζειν. h. 5. ἑτοιμώτατον δὴ. R. ἑτοιμότατα δὴ. r, f, β. ἑτοιμώτατα καὶ. k. ἑτοιμωτατά τε. 2, 3, E. ib. θαρσαλεώτατα. β. ib. καὶ μεγαλειότατα om. h. 6. ποῖον. π, g. ib. αὐτοῦ. R, v.

8. τε om. m. ib. ἦτην. E. 9. μὲν om. 2. 10. ξυγκείμενος. β. ib. θυῶδες. μ. 11. κατὰ ἑ. f. ib. τῶν δὲ. 1. τοὺς δὲ. 2, 3, E. 12. οὐδὲν τούτων. r. ib. δὴ om. R, v. 13. τε om. 2, 3, E. ib. τοῦτο. μ, v. ib. δὲ om. g. 14. τὴν om. R, g. ib. παρὰ. R. ib. καλούμενον om. β. 15. ἐπιστρέφων ἐς κεραίας. μ. ἐπιστρέφον. π, g. 16. αὐτῷ. R. τῆς αὐτοῖς. g. 17. ἔτυχεν ἕκαστος πράττων. 1. ἕκαστος ἔτυχε πράττων. 2, 3, E. 18. ὁ δὲ μάττων. 1. ὁ δὲ βάπτων 2, 3, E. ib. ὁ δέ τι ποιῶν. R, f, ρ, k, β, o. Desunt verba in r, 2, 3, e, m. 19. παρὰ. R. ib. ἐμπείρους. k (sic corr.). ἐμπήρους. e. ib. κεκαπνισμένοι. ρ ex corr. k. κεκαπισμένοι. p in mg. κεκαπνισμένοι om. ς. 20. ἐκ σκηπτοῦ. f. 21. ἄτρομος. R. ἄτροτος. β.

23. ἐφοίτησεν. f. ἐφοίτα. π, g. 24. καὶ ἐν. R. 25. προσθήσεσθαι. β. ib. μεγάλα. h. ib. εἰ τοιοῦτος. R, π. εἰ τοιοῦτος δὲ. r, f, k, β. εἰ τοιόσδε. 2, 3, E. Fo: εἰ τοιοῦτος δή. 26. ἐμπαιδεύοι. R. 27. ἑαυτοῦ om. f et ρ pr. m. ib. τὴν om. R, r, f et ρ pr. m. o.

30. αἱ δὲ αἰτίαι. f. αἱ δ' αἰτίαι. E. ib. χαλεπῶς. R, e. 31. καὶ ἡ δεῖνα om. R.

1, 21, §. 2. 3. 4. p. 516. = 29. 30. 31.

τὴν τοῦ Σκοπελιανοῦ μητέρα γυναῖκα ὁ πρεσβύτης ἠγάγετο ἡμίγαμόν τε καὶ οὐ κατὰ νόμους, ὁ δὲ
517 ὁρῶν ταῦτα ἐνουθέτει καὶ ἀπῆγεν. τουτὶ δὲ τοῖς ἐξώροις ἀηδές. ἡ δ' αὖ ξυνετίθει κατ' αὐτοῦ λόγον, ὡς ἐρῶντος μὲν αὐτῆς, τὴν διαμαρτίαν δὲ μὴ καρτεροῦντος. ξυνελάμβανε δὲ αὐτῇ τῶν διαβολῶν καὶ οἰκέτης τοῦ πρεσβύτου μάγειρος, ᾧ ἐπωνυμία Κύθηρος, ὑποθωπεύων, ὥσπερ ἐν δράματι, τὸν δεσπότην καὶ τοιαυτὶ λέγων· „ὦ δέσποτα, βούλεταί σε ὁ υἱὸς τεθνάναι ἤδη, οὐδὲ τὸν αὐτόματον καὶ μετ' οὐ πολὺ θάνατον ἐνδιδοὺς τῷ σῷ γήρᾳ, ἀλλὰ καὶ αὐτουργῶν μὲν τὴν ἐπιβουλήν, μισθούμενος δὲ καὶ τὰς ἐμὰς χεῖρας. ἔστι γὰρ αὐτῷ φάρμακα ἀνδροφόνα ἐπὶ σέ, ὧν τὸ καιριώτατον κελεύει με ἐμβαλεῖν ἐς ἕν τι τῶν ὄψων ἐλευθερίαν τε ὁμολογῶν καί ἀγροὺς καὶ οἰκίας καὶ χρήματα καὶ πᾶν ὅ τι βουλοίμην ἔχειν τοῦ σοῦ οἴκου, καὶ ταυτὶ μὲν πειθομένῳ εἶναι, ἀπειθοῦντι δὲ μαστίγωσίν τε καὶ στρέβλωσιν καὶ παχείας πέδας καὶ κύφωνα βαρύν." καὶ τοιοῖσδε θωπεύμασι περιελθὼν τὸν δεσπότην τελευτῶντος μετ' οὐ πολὺ καὶ πρὸς διαθήκαις ὄντος γράφεται κληρονόμος, υἱός τε προσρηθεὶς καὶ ὀφθαλμοὶ καὶ ψυχὴ πᾶσα. καὶ οὐχὶ ταυτὶ χρὴ θαυμάζειν, ἐπεὶ πρεσβύτην ἐρῶντα ἔθελξεν ἴσως που καὶ παραπαίοντα ὑπὸ ἡλικίας καὶ αὐτοῦ τοῦ ἐρᾶν — καὶ γὰρ δὴ καὶ νέοι ἐρῶντες οὐκ ἔστιν ὅστις αὐτῶν τὸν ἑαυτοῦ νοῦν ἔχει — ἀλλ' ὅτι καὶ τῆς τοῦ Σκοπελιανοῦ νεότητός τε καὶ τῆς ἐν τοῖς δικαστηρίοις ἀκμῆς κρείττων ἔδοξεν ἀγωνισάμενος μὲν περὶ τῶν διαθηκῶν πρὸς αὐτόν, ἀντεκτείνας δὲ τῇ ἐκείνου δεινότητι τὸν ἐκείνου πλοῦτον, ἀπαντλῶν γὰρ τῆς οὐσίας καὶ μισθούμενος ὑπερβολαῖς χρημάτων γλώττας ὁμοῦ πάσας καὶ δικαστῶν ψήφους πανταχοῦ τὴν νικῶσαν ἀπηνέγκατο, ὅθεν ὁ Σκοπελιανὸς τὰ μὲν Ἀναξαγόρου μηλόβοτα εἶναι, τὰ δὲ αὐτοῦ δουλόβοτα ἔλεγεν. ἐπιφανὴς δὲ καὶ τὰ πολιτικὰ ὁ Κύθηρος γενόμενος γηράσκων ἤδη καὶ τὴν οὐσίαν ὁρῶν ὑποδιδοῦσαν καταφρονούμενός τε ἱκανῶς καί που καὶ πληγὰς λαβὼν πρὸς ἀνδρός, ὃν χρήματα ἀπαιτῶν ἐτύγχανεν, ἱκέτης τοῦ Σκοπελιανοῦ γίγνεται ἀμνησικακίαν τε αὐτῷ
518 παρεῖναι καὶ ἀοργησίαν ἀπολαβεῖν τε τὸν τοῦ πατρὸς οἶκον ἀνέντα μὲν αὐτῷ μέρος τῆς οἰκίας πολλῆς οὔσης, ὡς μὴ ἀνελευθέρως ἐνδιαιτήσηται, συγχωρήσαντα δὲ ἀγροὺς δύο τῶν ἐπὶ θαλάττῃ. καὶ Κυθήρου οἶκος ἐπωνόμασται νῦν ἔτι τὸ μέρος τῆς οἰκίας, ἐν ᾧ κατεβίω. ταυτὶ μέν, ὡς μὴ ἀγνοεῖν αὐτά, συνιέναι δὲ κἀκ τούτων, ὅτι οἱ ἄνθρωποι μὴ θεοῦ μόνον, ἀλλὰ καὶ ἀλλήλων παίγνια.

V Σκοπελιανοῦ δὲ σπουδάζοντος ἐν τῇ Σμύρνῃ ξυμφοιτᾶν μὲν ἐς αὐτὴν Ἴωνάς τε καὶ Λυδοὺς καὶ Κᾶρας καὶ Μαίονας Αἰολέας τε καὶ τοὺς ἐκ Μυσῶν Ἕλληνας καὶ Φρυγῶν οὔπω μέγα, ἀγχίθυρος γὰρ τοῖς ἔθνεσι τούτοις ἡ Σμύρνα καιρίως ἔχουσα τῶν γῆς καὶ θαλάττης πυλῶν, ὁ δὲ ἦγε μὲν Καππαδόκας τε καὶ Ἀσσυρίους, ἦγε δὲ Αἰγυπτίους καὶ Φοίνικας Ἀχαιῶν τε τοὺς εὐδοκιμωτέρους καὶ νεότητα τὴν ἐξ Ἀθηνῶν ἅπασαν. δόξαν μὲν οὖν ἐς τοὺς πολλοὺς παραδεδώκει ῥᾳστώνης τε καὶ ἀμελείας, ἐπειδὴ τὸν πρὸ τῆς μελέτης καιρὸν ξυνῆν ὡς ἐπὶ πολὺ τοῖς τῶν Σμυρναίων

1. Fo: ἦγετο. ib. οὐ om. e. 2. ἐνουθέτει ἀπῆγε. β, 2, 3, E. ἀπῆγεν. R. ib. ἐξ ὥροις. r. 3. ἐρόντος. r. ib. καὶ ἀποτυγχάνοντος μὲν αὐτῆς. o ex ve. ib. τῇ διαβολῇ. π, g. 4. πρεσβυτέρου. R. 5. τεθνάναι ἤδη. 1. ἤδη τεθνάναι. 2, 3, E. 6. τὸν om. π. ib. καὶ αὐτουργῶν. r, f, k. αὐτοῦργον. R. αὐτουργῶν. β, 2, 3, E. 7. ἐπιβολὴν. E. ib. δὲ om. R. ib. αὐτοῦ. R. αὐτὸ. r. 8. ἐλευθερία τε. f. 9. πειθομένου. R. 10. ἀπειθοῦντί τε. R. ib. καὶ τοιοῖσδε. r, f, ρ, k. τοιοῖσδε. β, 2, 3, E. 11. θωπεύουσι. g. ib. τῷ δεσπότῃ. k. 12. ταυτί. r, f, k. τουτί. R, β, 2, 3, E. 13. που om. R. 14. τὸν om. m, o. ib. οὐδ' ὅτι. o. 15. καὶ ἐν δικαστηρίοις. β, π, g. τοῖς ἐν δικαστηρίοις. μ ib. νεότητός τε. C, E. Fo: δεινότητός τε. 16. παρὰ τῶν. R. ib. ἀντεκτεκτείνας. k. ib. νεότητι. μ. ib. τὸν ἑαυτοῦ. β. τὸν αὐτοῦ. 1 et p, ubi τὸν αὐτοῦ in mg. τὸν ἐκείνου. 2, 3, E. 18. μηλόβοτον. R. μηλόβατα. r. ib. τὰ δὲ αὐτοῦ. k. τὰ δὲ αὐτοῦ. ς. 19. δουλόβατα. r. ib. ἐπιφανὴς. R, f, k. τὰ πολιτικὰ. ρ, β, 2, 3, E. πολιτικὰ. r. πολιτικὸς. R, f, k. 20. ἐπιδιδοῦσαν. f. ib. καί που πληγάς. v. 21. μνησικακίαν. o. 22. ἀοργισίαν. μ. ὀργίαν. R. ὀργὴν. ς. 24. τῆς οἰκίας om. e ib. ταυτὶ ὡς. R. ταυτὶ μὲν. β. 25. μὴ τοῦ θεοῦ. f, ρ et k ubi mg. οὐ θεῷ.

27. Ἕλληνάς τε καὶ Λυδούς. μ. 28. τε τοὺς. k. ib. τοὺς ἐκ Μουσῶν Ἕλληνας καὶ Φρυγῶν. R. τ. ἐ. Μ. καὶ Φ. Ἕλληνας. ς. 29. κυρίως ἔχουσα. R, r, f, ρ, k. καὶ καιρίως. β, 2, 3, E. ib. τῶν καὶ γῆς. f, ρ, k, o. ib. θαλάττης καλῶν. β. ib. ἦγεν μὲν. r. 30. ἦγεν δὲ. r. ib. εὐδοκιμωτάτους. R. 31. Ἀθηναίων. r, k, β. Ἀθηναῖων. f. ib. ἅπασαν. β. πᾶσαν. ς. ib. οὖν om. β. ib. πολλοὺς om. f, k. ib. παραδεδώκει. 1, π. παρεδώκει. h, j. παρεδεδώκει. 2, 3, a, i, m, o. 32. τὸν om. R. ib. ἐπὶ τὸ πολὺ. β. ib. τῶν om. R.

I, 21, §. 5. p. 517. 518. = 31. 32. 33.

τέλεσιν ὑπὲρ τῶν πολιτικῶν, ὁ δὲ ἀπεχρῆτο μὲν καὶ τῇ φύσει λαμπρᾷ τε οὔσῃ καὶ μεγαλογνώμονι, καὶ τὸν μεθ' ἡμέραν καιρὸν ἧττον ἐσπούδαζεν, ἀυπνότατος δ' ἀνθρώπων γενόμενος „ὦ νύξ", ἔλεγε „σὺ γὰρ δὴ πλεῖστον σοφίας μετέχεις μέρος θεῶν", ξυνεργὸν δὲ αὐτὴν ἐποιεῖτο τῶν ἑαυτοῦ φροντισμάτων. λέγεται γοῦν καὶ ἐς ὄρθρον ἀποτεῖναι σπουδάζων ἀπὸ ἑσπέρας. προσέκειτο μὲν οὖν ἅπασι ποιήμασι, τραγῳδίας δὲ ἐνεφορεῖτο, ἀγωνιζόμενος πρὸς τὴν τοῦ διδασκάλου μεγαλοφωνίαν, ἀπὸ γὰρ τούτου τοῦ μέρους ὁ Νικήτης σφόδρα ἐθαυμάζετο. ὁ δὲ οὕτω τι μεγαλοφωνίας ἐπὶ μεῖζον ἦλασεν, ὡς καὶ Γιγαντίαν ξυνθεῖναι παραδοῦναί τε Ὁμηρίδαις ἀφορμὰς ἐς τὸν λόγον. ὡμίλει δὲ σοφιστῶν μὲν μάλιστα Γοργίᾳ τῷ Λεοντίνῳ, ῥητόρων δὲ τοῖς λαμπρὸν ἠχοῦσιν. τὸ δὲ ἐπίχαρι φύσει μᾶλλον εἶχεν ἢ μελέτῃ, πρὸς φύσεως μὲν γὰρ τοῖς Ἰωνικοῖς τὸ ἀστείζεσθαι, τῷ 519
δ' αὖ καὶ ἐπὶ τῶν λόγων τοῦ φιλόγελω περιῆν. τὸ γὰρ κατηφὲς δυσξύμβολόν τε καὶ ἀηδὲς ἡγεῖτο. παρῄει δὲ καὶ ἐς τοὺς δήμους ἀνειμένῳ τε καὶ διακεχυμένῳ τῷ προσώπῳ, καὶ πολλῷ πλέον, ὅτε ξὺν ὀργῇ ἐκκλησιάζοιεν, ἀνιεὶς αὐτοὺς καὶ διαπραΰνων τῇ τοῦ εἴδους εὐθυμίᾳ. τὸ δὲ ἐν τοῖς δικαστηρίοις ἦθος οὔτε φιλοχρήματος οὔτε φιλολοίδορος· προῖκα μὲν γὰρ ξυνέταττεν ἑαυτὸν τοῖς ὑπὲρ ψυχῆς κινδυνεύουσι, τοὺς δὲ λοιδορουμένους ἐν τοῖς λόγοις καὶ θυμοῦ τινα ἐπίδειξιν ἡγουμένους ποιεῖσθαι γραίδια ἐκάλει μεθύοντα καὶ λυττῶντα. τὰς δὲ μελέτας μισθοῦ μὲν ἐποιεῖτο, ὁ δὲ μισθὸς ἦν ἄλλος ἄλλου καὶ ὡς ἕκαστος οἴκου εἶχεν, παρῄει τε ἐς αὐτοὺς οὔθ' ὑπερφρονῶν καὶ σεσοβημένος, οὔθ' ὥσπερ οἱ δεδιότες, ἀλλ' ὡς εἰκὸς ἦν τὸν ἀγωνιῶντα μὲν ὑπὲρ τῆς ἑαυτοῦ δόξης, θαρροῦντα δὲ τῷ μὴ ἂν σφαλῆναι. διελέγετο δὲ ἀπὸ μὲν τοῦ θρόνου ξὺν ἀβρότητι, ὅτε δὲ ὀρθὸς διελέγετο, ἐπιστροφήν τε εἶχεν ὁ λόγος καὶ ἔρρωτο. καὶ ἐπεσκοπεῖτο οὐκ ἔνδον, οὐδ' ἐν τῷ ὁμίλῳ, ἀλλ' ὑπεξιὼν ἐν βραχεῖ τοῦ καιροῦ διεώρα πάντα. περιῆν δὲ αὐτῷ καὶ εὐφωνίας, καὶ τὸ φθέγμα ἡδονὴν εἶχε τόν τε μηρὸν θαμὰ ἔπληττεν ἑαυτόν τε ὑπεγείρων καὶ τοὺς ἀκροωμένους. ἄριστος μὲν οὖν καὶ σχηματίσαι λόγον καὶ ἐπαμφοτέρως εἰπεῖν, θαυμασιώτερος δὲ περὶ τὰς ἀκμαιοτέρας τῶν ὑποθέσεων καὶ πολλῷ πλέον περὶ τὰς Μηδικάς, ἐν αἷς οἱ Δαρεῖοί τέ εἰσι καὶ οἱ Ξέρξαι, ταύτας γὰρ αὐτός τέ μοι δοκεῖ ἄριστα σοφιστῶν ἑρμηνεῦσαι παραδοῦναί τε τοῖς ἐπιγιγνο- 520
μένοις ἑρμηνεύειν. καὶ γὰρ φρόνημα ἐν αὐταῖς ὑπεκρίνατο καὶ κουφότητα τὴν ἐν τοῖς βαρβάροις ἤθεσιν. ἐλέγετο καὶ σείεσθαι μᾶλλον ἐν ταύταις, ὥσπερ βακχεύων, καί τινος τῶν ἀμφὶ τὸν Πολέμωνα τυμπανίζειν αὐτὸν φήσαντος λαβόμενος ὁ Σκοπελιανὸς τοῦ σκώμματος „τυμπανίζω μέν", εἶπεν „ἀλλὰ τῇ τοῦ Αἴαντος ἀσπίδι."

Βασίλειοι δὲ αὐτοῦ πρεσβεῖαι πολλαὶ μέν, καὶ γάρ τις καὶ ἀγαθὴ τύχη ξυνηκολούθει πρε- VI
σβεύοντι, ἀρίστη δὲ ἡ ὑπὲρ τῶν ἀμπέλων· οὐ γὰρ ὑπὲρ Σμυρναίων μόνων, ὥσπερ αἱ πλείους,

1. μέλεσι. r et suprascr. τ. 2. μεθ' ἡμέραν δὲ. l. καὶ μεθ' ἡμέραν. μ. ib. δ' om. l. ib. ἀυπνώτατος. R. 3. δὴ om. R. ib. μετέχεις σοφίας. R. ib. θειῶν. β. ib. καὶ αὐτὴν. R. δὲ αὐτῇ. r. αὐτὴν om. β. ib. ἑαυτοῦ om. R. 4. λέγεται — προσέκειτο om. v. 5. ἅπασι τοῖς. π. ib. δὲ ἐνεφορεῖτο. R, r, f, k. δὲ καὶ ἐνεφορεῖτο. β, 2, 3, E. 6. ἀπὸ γὰρ τούτου τοῦ μέρους ὁ Νικήτης σφόδρα ἐθαυμάζετο. R. ἀπὸ γὰρ τούτου σφόδρα τοῦ μέρους ἐθαυμάζετο ὁ Νικήτης. β. απο γὰρ τούτου σφόδρα τοῦ μέρους ὁ N. ἐθαυμάζετο. ς. ib. οὕτω τοι. p. οὕτω τὸ. e. τε om. k. οὕτω — ξυνθεῖναι om. μ, ν, Bonf. 7. δοῦναί τε. μ, ν. ib. ἀφορμαῖς. μ. 8. τῶν σοφιστῶν. k. ib. μάλα. π. 9. πρὸς φύσεως. l et p ex corr. προσφυές. 2, 3, E. ib. τὸ δ' αὖ. β. καὶ ἐπὶ τῶν λόγων. 2, φ, π, g, E. καὶ ἐπὶ τῷ λόγῳ. β. καὶ et om. ἐπὶ τῶν λόγων 1 et p ex erasione. 10. τοῦ φιλόγελω. p. τῷ φιλόγελω. R, r, f. τῷ φιλολόγῳ. ρ, k. φιλόγελων. β. τὸ φιλόγελων, φ, π, g, e, m. τὸ φιλογέλων. o. ib. παρῆν. R. 11. καὶ om. β, 2, 3, E. ib. ἀνειμένῳ τε καὶ διακεχυμένῳ. β. ἀνειμένῳ. ς. ib. ὅτε καὶ ξὺν. R. 12. καὶ τοῦ εἴδους. ρ, k. ib. τοῖς om. β. 13. οὐ φιλοχρήματος. R. φιλολοίδωρος. v, h. φιλόδωρος. k. ib. γὰρ om. R, r, f. 14. κινδυνεύμασι. R, r, f. ib. ἡγουμένου. β. ib. τινα ἐπίδειξιν. 1 et p ex corr. ἐπίδειξιν. 2, 3, E. 15. καὶ. R. τε καὶ. ς. 16. καὶ οὔθ' ὑπερφρονῶν. g. 17. ἀγωνίοντα. r. μὲν om. μ. ib. ἑαυτῆς. R. αὐτοῦ. h. 18 δὲ om. R. ib. τοῦ μὴ. R. τῷ μὲν β. ib. ἀπὸ μὲν θρόνου. π. μὲν ἀπὸ τοῦ θρόνου. 2. 19. ὀρθῶς. r. ib. Fo: διαλέγοιτο. ib. τε om. μ, ν. ib. οὐδ' ἔνδον. v. 20. καὶ μεγαλοφωνίας. μ. 21. εἶχεν. f. 22. δὲ om. 1 praeter β. 23. εἶσιν. f. 24. παραγιγνομένοις. μ. 25. τὸ γὰρ. corr. in mg. k. ib. Fo: ὑπεκρίνετο. ib. τὴν om. β. 26. ἀμφὶ τὸν. 1, o. ἀμφὶ. 2, 3, e, m. 27. λαμβανόμενος. h. ib. τοῦ λόγου. R. ib. τυμπανίζω μέν. R, r, β, ν, ρ, π, g, pe. τυμπανίζωμεν. f, k. τυμπανίζειν μὲν. 2, φ, E. 29. τι. e, m. 30. μόνων. β. μόνον. ς.

1, 21. §. 6. p. 519. 520. = 33. 34.

ἀλλ᾽ ὑπὲρ τῆς Ἀσίας ὁμοῦ πάσης ἐπρεσβεύθη. τὸν δὲ νοῦν τῆς πρεσβείας ἐγὼ δηλώσω· ἐδόκει τῷ βασιλεῖ μὴ εἶναι τῇ Ἀσίᾳ ἀμπέλους, ἐπειδὴ ἐν οἴνῳ στασιάζειν ἔδοξαν, ἀλλ᾽ ἐξῃρῆσθαι μὲν τὰς ἤδη πεφυτευμένας, ἄλλας δὲ μὴ φυτεύειν ἔτι. ἔδει δὴ πρεσβείας ἀπὸ τοῦ κοινοῦ καὶ ἀνδρός, ὃς ἔμελλεν ὥσπερ Ὀρφεύς τις ἢ Θάμυρις ὑπὲρ αὐτῶν θέλξειν. αἱροῦνται τοίνυν Σκοπελιανὸν πάντες, ὁ δ᾽ οὕτω τι ἐκ περιουσίας ἐκράτει τὴν πρεσβείαν, ὡς μὴ μόνον τὸ ἐξεῖναι φυτεύειν ἐπανελθεῖν ἔχων, ἀλλὰ καὶ ἐπιτίμια κατὰ τῶν μὴ φυτευόντων. ὡς δὲ ηὐδοκίμησε τὸν ἀγῶνα τὸν ὑπὲρ τῶν ἀμπέλων, δηλοῖ μὲν καὶ τὰ εἰρημένα, ὁ γὰρ λόγος ἐν τοῖς θαυμασιωτάτοις, δηλοῖ δὲ καὶ τὰ ἐπὶ τῷ λόγῳ, δώρων τε γὰρ ἐπ᾽ αὐτῷ ἔτυχεν, ἃ νομίζεται παρὰ βασιλεῖ, πολλῶν τε προσρήσεών τε καὶ ἐπαίνων, νεότης τε αὐτῷ λαμπρὰ ξυνηκολούθησεν ἐς Ἰωνίαν σοφίας ἐρῶντες.

VII 521 Ἐπεὶ δὲ Ἀθήνησιν ἐγένετο, ποιεῖται αὐτὸν ξένον ὁ Ἡρώδου τοῦ σοφιστοῦ πατὴρ Ἀττικὸς θαυμάζων ἐπὶ ῥητορικῇ μᾶλλον ἢ τὸν Γοργίαν ποτὲ Θετταλοί. ὁπόσοι γοῦν τῶν πάλαι ῥητόρων ἑρμαῖ ἦσαν ἐν τοῖς τῆς οἰκίας δρόμοις, ἐκέλευε τούτους βάλλεσθαι λίθοις, ὡς διεφθορότας αὐτῷ τὸν υἱόν. μειράκιον μὲν δὴ ἐτύγχανεν ὢν ὁ Ἡρώδης τότε καὶ ὑπὸ τῷ πατρὶ ἔτι, τοῦ δὲ αὐτοσχεδιάζειν ἦρα μόνου, οὐ μὴν ἐθάρρει γε αὐτό. οὐδὲ γὰρ τῷ Σκοπελιανῷ ξυγγεγονὼς ἦν ἐς ἐκεῖνό πω τοῦ χρόνου, οὐδ᾽ ἥτις ἡ τῶν αὐτοσχεδίων ὁρμὴ γιγνώσκων, ὅθεν ἀσμένῳ οἱ ἐγένετο ἡ ἐπιδημία τοῦ ἀνδρός. ἐπειδὴ γὰρ λέγοντος ἤκουσε καὶ διατιθεμένου τὸν αὐτοσχέδιον, ἐπτερώθη ὑπ᾽ αὐτοῦ καὶ ἡτοιμάσθη, καὶ τὸν πατέρα δὲ ἦσαι διανοηθεὶς ἀπαγγέλλει οἱ μελέτην ἐς τὴν ἰδέαν τοῦ ξένου. ὁ πατὴρ δὲ ἠγάσθη τε αὐτὸν τῆς μιμήσεως καὶ πεντακόσια ἐδωκεν αὐτῷ τάλαντα, ἔδωκε δὲ καὶ αὐτῷ τῷ Σκοπελιανῷ πεντεκαίδεκα, ὁ δέ, ὅσαπερ ὁ πατήρ, τοσαῦτα ἀπὸ τῆς ἑαυτοῦ δωρεᾶς προσέδωκεν αὐτῷ, ἔτι καὶ διδάσκαλον ἑαυτοῦ προσειπών. τουτὶ δὲ συνιέντι Ἡρώδου καὶ τῶν τοῦ Πακτωλοῦ πηγῶν ἥδιον.

VIII Τὴν δὲ εὐτυχίαν, ἣ περὶ τὰς πρεσβείας ἐχρῆτο, ξυμβάλλειν ἐστὶ καὶ τοῖσδε· ἔδει μὲν γὰρ τοῖς Σμυρναίοις τοῦ πρεσβεύσοντος ὑπὲρ αὐτῶν ἀνδρός, ἡ πρεσβεία δὲ ἦν ὑπὲρ τῶν μεγίστων. ὁ μὲν δὴ ἐγήρασκεν ἤδη καὶ τοῦ ἀποδημεῖν ἐξώρως εἶχεν, ἐχειροτονεῖτο δὲ ὁ Πολέμων οὔπω πεπρεσβευκὼς πρότερον. εὐξάμενος οὖν ὑπὲρ τῆς ἀγαθῆς τύχης ἐδεῖτο γενέσθαι οἱ τὴν τοῦ Σκοπελιανοῦ πειθώ, καὶ περιβαλὼν αὐτὸν ἐπὶ τῆς ἐκκλησίας

„δὸς δέ μοι ὤμοιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κ᾽ ἐμὲ σοὶ ἴσκωσι,“

1. τῷ βασιλεῖ om. R. 2. τῇ Ἀσίᾳ μὴ εἶναι. R. ib. ἐξερῆσθαι. β. ἐξαιρῆσθαι. p. ἐξαιρεῖσθαι. E. 3. ἔδει δὲ. p, ve. ib. ἀνδρὸς, ὡς. e. 4. λέξειν. R. ib. οἱ πάντες. R. 5. οὕτω τοι. p, h. ib. τὸ ἐξῆν. R, r, f, k. 6. ἀγῶνα τοῦτον. R. 7. ὁ γὰρ λόγος. β. ὁ δὲ λόγος. 2, 3, E. ὁ λόγος. 1 om. part. ib. θαυμασιώτατα. 2, φ, π, g, e, m. 8. ἃ μὴ. β. νομίζετε. r. ib. προσρήσεών τε. r, f. τε om. ς.

10. ἐπειδὴ δὲ. E. ib. Ἀττιθὸς. r, f. 11. μᾶλλον καὶ τὸν. a, j. μᾶλλον ὡς καὶ τὸν. 1, m. ib. οἱ Θετταλοὶ ποτε. R. 12. ἐκέλευσε. E. ib. τούτοις. R, f, h, π, g. ib. βαλέσθαι. h. 13. μὲν ἐτύγχανεν. h. μὲν οὖν ἐτύγχανεν. g. πω 14. αὐτὸ. r et p ex corr. αὐτῷ. ς. ib. τῷ om. E. ib. ἐκεῖνό πω. r, f, β. ἐκείνου που. R. ἐκεῖνό γε. p (sic). ἐκεῖνό γέ πω. k. ἐκεῖνό γε. 2, φ, π, g, E. 15. ἀσμένων. R. ἀσμένως. v. ib. ἐπιθυμία. R. 16. ἤκουσεν. r, f. ib. ἐπτε- ου ρώθη. r, f, ρ, β et p in mg. ἐπτερώσθη. k. ἀνεπτερώθη μι τὸν αὐτοσχέδιον ἐπτερώθην. R. ἐπερρώσθη. μ, v, ox, 3. ἐπερρώθη. h. 17. καὶ om. r. ib. δὲ om. R, β, k. ib. ἦσαι. R, r, f, β. ᾖσαι. k, 2, 3, E. ib. ἀπαγγέλει. r, f. ἐπαγγέλλει. R. 19. αὐτῷ τῷ. h. αὐτῷ. ς. ib. πεντεκαίδεκα. 1 et p ex corr. δεκαπέντε. 2, 3, E. ib. ἡ δὲ. R. ib. ὅσαπερ. 1, π, g. ὅσα. ς. 20. προσέδωκεν. 1. προσεπέδωκεν. 2, 3, E. ib. ἔτι δὲ. g. καὶ ἔτι. e. ib. αὐτοῦ R. 21. Πακτολοῦ. r.

22. ᾗπερ. R. ib. ἐκέκτητο. R. ib. ξυμβαίνειν. R. ξυμβαλεῖν. μ, v. ib. ἔδει γὰρ. μ. 23. πρεσβεύσαντος. R, f, μ. ib. ἀνδρὸς om. h. ib. ἴσως τῶν μεγίστων. R. ὑπὲρ μεγίστων. f. 24. ἤδη om. 2. 25. οἱ γενέσθαι. μ, v. 26. παραβαλὼν. R. 28. ἴσκωσι. r, β, π. ἐίσκωσι. cett. C. αἴκ᾽ ἔμπως ἐΐσκωσοι. e. αἴκεν πως ἐΐσκωσι. m. αἴκ᾽ ἐμέ σοι ἴσκοντες. o.

1, 21. §. 7, 8. p. 521. = 34. 35. 36.

μάλα ἀστείως ὁ Πολέμων τὰ ἐκ Πατροκλείας ἐπεῖπεν τῷ ἀνδρί. καὶ Ἀπολλώνιος δὲ ὁ Τυανεὺς ὑπερενεγκὼν σοφίᾳ τὴν ἀνθρωπίνην φύσιν τὸν Σκοπελιανὸν ἐν θαυμασίοις τάττει.

κβ'. Διονύσιος δὲ ὁ Μιλήσιος εἷθ', ὡς ἔνιοί φασι, πατέρων ἐπιφανεστάτων ἐγένετο, εἷθ', ὡς τινες, αὐτὸ τοῦτο ἐλευθέρων, ἀφείσθω τούτου τοῦ μέρους, ἐπειδὴ οἰκείᾳ ἀρετῇ ἐλαμπρύ- 522
νετο, τὸ γὰρ καταφεύγειν ἐς τοὺς ἄνω ἀποβεβληκότων ἐστὶ τὸν ἐφ' ἑαυτῶν ἔπαινον. Ἰσαίου δὲ ἀκροατὴς γενόμενος ἀνδρός, ὡς ἔφην, κατὰ φύσιν ἑρμηνεύοντος τουτὶ μὲν ἱκανῶς ἀπεμάξατο καὶ πρὸς τούτῳ τὴν εὐταξίαν τῶν νοημάτων, καὶ γὰρ δὴ καὶ τοῦτο Ἰσαίου. μελιχρότατος δὲ περὶ τὰς ἐννοίας γενόμενος οὐκ ἐμέθυε περὶ τὰς ἡδονάς, ὥσπερ ἔνιοι τῶν σοφιστῶν, ἀλλ' ἐταμιεύετο λέγων ἀεὶ πρὸς τοὺς γνωρίμους, ὅτι χρὴ τοῦ μέλιτος ἄκρῳ δακτύλῳ, ἀλλὰ μὴ κοίλῃ χειρὶ γεύεσθαι, ὡς ἐν ἅπασι μὲν τοῖς εἰρημένοις δεδήλωται τῷ Διονυσίῳ, λογικοῖς τε καὶ νομικοῖς καὶ ἠθικοῖς ἀγῶσι, μάλιστα δὲ ἐν τῷ ἐπὶ Χαιρωνείᾳ θρήνῳ· διεξιὼν γὰρ τὸν Δημοσθένην τὸν μετὰ Χαιρώνειαν προσάγοντα τῇ βουλῇ ἑαυτὸν ἐς τήνδε τὴν μωῳδίαν τοῦ λόγου ἐτελεύτησεν· „ὦ Χαιρώνεια πονηρὸν χωρίον.“ καὶ πάλιν „αὐτομολήσασα πρὸς τοὺς βαρβάρους Βοιωτία. στενάξατε οἱ κατὰ γῆς ἥρωες, ἐγγὺς Πλαταιῶν νενικήμεθα.“ καὶ πάλιν „ἐν τοῖς κρινομένοις ἐπὶ τῷ μισθοφορεῖν Ἀρκάσιν ἀγορὰ πολέμου πρόκειται καὶ τὰ τῶν Ἑλλήνων κακὰ τὴν Ἀρκαδίαν τρέφει.“ καὶ „ἐπέρχεται πόλεμος αἰτίαν οὐκ ἔχων.“

Τοιάδε μὲν ἡ ἐπίπαν ἰδέα τοῦ Διονυσίου, καθ' ἣν τὰ τῆς μελέτης αὐτῷ προὔβαινεν ἐπισκοπουμένῳ καιρόν, ὅσονπερ ὁ Ἰσαῖος, ὁ δὲ λόγος ὁ περὶ τοῦ Διονυσίου λεγόμενος, ὡς Χαλδαίοις 11
τέχναις τοὺς ὁμιλητὰς τὸ μνημονικὸν ἀναπαιδεύοντος πόθεν εἴρηται, ἐγὼ δηλώσω· τέχναι μνήμης 523
οὔτε εἰσὶν οὔτ' ἂν γένοιντο, μνήμη μὲν γὰρ δίδωσι τέχνας, αὐτὴ δὲ ἀδίδακτος καὶ οὐδεμιᾷ τέχνῃ
ἁλωτός, ἔστι γὰρ πλεονέκτημα φύσεως ἢ τῆς ἀθανάτου ψυχῆς μοῖρα. οὐ γὰρ ἄν ποτε θνητὰ νομισθείη τὰ ἀνθρώπεια, οὐδὲ διδακτά, ἃ ἐμάθομεν, εἰ μνήμη συνεπολιτεύετο ἀνθρώποις, ἣν εἴτε μητέρα δεῖ χρόνου καλεῖν, εἴτε παῖδα, μὴ διαφερώμεθα πρὸς τοὺς ποιητάς, ἀλλ' ἔστω, ὅ τι βούλονται. πρὸς δὲ τούτοις τίς οὕτως εὐήθης κατὰ τῆς ἑαυτοῦ δόξης ἐν σοφοῖς γραφόμενος, ὡς γοητεύων ἐν μειρακίοις διαβάλλειν καὶ ἃ ὀρθῶς ἐπαιδεύθη; πόθεν οὖν τὸ μνημονικὸν τοῖς ἀκροωμένοις; ἅπληστα τὴν ἡδονὴν ἐδόκει τὰ τοῦ Διονυσίου καὶ πολλάκις ἐπαναλαμβάνειν αὐτὰ ἠναγκά-

1. μάλα. R, r, f, ρ, β, μ. μάλλα. k. μάλιστα. cett. C, et i, j, m, o. μάλισται. a. ib. ἐπεῖπεν. μ, v. ἐπειπῶν. β. ἐπειπὼν. ς. ib. τὰ ἐκ Πατροκλείας. r, ve. τὰ τοῦ Πατρόκλου. ς. ib. δὲ om. f, k, h. 2. σοφίαν τὴν ἀνθρωπίνην τὸν. β.
3. ὡς φασι πρὸς τοῦτο. R. 5. τὰ ἄνω. k, π, g. ib. τῶν. μ, v. ib. ἐφ' ἑαυτόν. R, β, h. ἐφ' ἑαυτοῦ. g. 6. ὡς ἀνδρὸς ὤς. k. 7. μελιχρώτατος. E. 8. γενόμενος om. 1 praeter β. ib. λέγων ἀεὶ. r, f, ρ, k et p ex corr. λέγων. R, β, 2, 3, E. 9. γέεσθαι. r. 11. ἐπὶ Χαιρωνείᾳ. p ex corr. περὶ Χαιρωνείαν cett. C. (Χερωνίαν, r. Χερωνείαν, μ, v, e.) et E. ib. Δημοσθένη. R, r. Δημοσθένην. β, 2, 3, E. ib. μετὰ Χερωνίαν θρήνῳ διεξιὼν προσαγαγόντα. r. μετὰ Χαιρώνειαν θρῆνον cett. C et E, sed in p. θρῆνον recte erasum. τὸν μετὰ τὸν περὶ Χαιρώνειαν θρῆνον. o. ib. προσάγοντα. β, ρ, μ. προσαγαγόντα. ς. 12. πονηρὰν χώραν. k. 13. καὶ πάλιν – Βοιωτία om. R. ib. αὐτομολήσας. r, f. Fo: ω αὐτομολήσασα. ib. τοὺς βαρβάρους. r, f, ρ, k. βαρβάρους. β, 2, 3, E. ib. στενάξατε καὶ κατὰ γῆς. v, h, o. στενάξατε κατὰ γῆς. μ. 14. καὶ πάλιν – ἔχων om. β. ib. ἐν τοῖς. 1 et p ex corr. τοῖς. 2, 3, E. 15. κατὰ τῶν Ἑλλήνων κατὰ. r, f, k. 16. τὴν Ἀρκαδίαν. 1. ἡ Ἀρκάδων. μ, v. τὴν Ἀρκάδων. ox, h, 3, E. ib. ἐπέρχεται p. mg. περιέρχεται. p in ord. et ς.
17. τοιάδε ἡ. f, ρ, k. 18. ὅσονπερ Ἰσαῖος. f. ὅσον ποῦ Ἰσαῖος. k. ib. Χαλδαίοις. r, f. Χαλδαίων. ς. 19. ἄρα παιδεύοντος. R. ib. πόθεν εἴρηται ἐγὼ δηλώσω. 1. ἐγὼ δηλώσω πόθεν εἴρηται. 2, 3, E. 20. μνήμη γὰρ. k, h. ib. αὕτη. r. ib. ἀδίδακτος 1, o. ἀδύνατος. 2, 3, e, m. 21. ἢ τῆς. k. 22. Fo: ἐνομίσθη. ib. ἀνθρώπεια. r, f, ρ, k, β, o. ἀνθρώπινα. R, 2, 3, e, m. ib. οὐδὲ διδακτὰ, ἃ ἐμάθομεν. R, r, f, ρ, k. οὐδὲ διδακτὰ ἐμάθομεν. 2, 3. οὔτ' ἂν μὴ διδακτὰ, ἃ ἐμάθομεν. β, o. οὔτ' ἂν διδακτὰ ἐμάθομεν. e, m. ib. εἰ ἡ μνήμη. β. εἰ μνήμη. ρ et p (sic). εἰ μὴ μνήμη. k, o. εἰς μνήμην. h. 23. μητέρα δεῖ χρόνου. R, r. μητέρα χρόνου f, k, o. μητέρα χρόνου δεῖ. β, v, ox, h, 3, e, m. μητέρα χρόνου χρὴ. μ. ib. διαφερόμεθα. h, e, m. 24. βούληται. E. ib. εὐήθης τε. r. ib. αὐτοῦ. R. 25. γοήτων. μ.

1, 22, §. 1, 2. p. 522. 523. = 36. 37.

ζετο, ἐπειδὴ ξυνίει σφῶν χαιρόντων τῇ ἀκροάσει. οἱ δὴ εὐμαθέστεροι τῶν νέων ἐνετυποῦντο αὐτὰ ταῖς γνώμαις καὶ ἀπήγγελλον ἑτέροις μελέτῃ μᾶλλον ἢ μνήμῃ ξυνειληφότες, ὅθεν μνημονικοί τε
524 ὠνομάζοντο καὶ τέχνην αὐτὸ πεποιημένοι. ἔνθεν ὁρμώμενοί τινες τὰς τοῦ Διονυσίου μελέτας ἐσπερματολογῆσθαί φασιν, ὡς δὴ ἄλλο ἄλλου ξυνενεγκόντων ἐς αὐτάς, ἐν ᾧ ἐβραχυλόγησεν.

III 5 *Μεγάλων μὲν οὖν ἠξιοῦτο κἀκ τῶν πόλεων, ὁπόσαι αὐτὸν ἐπὶ σοφίᾳ ἐθαύμαζον, μεγίστων δὲ ἐκ βασιλέως· Ἀδριανὸς γὰρ σατράπην μὲν αὐτὸν ἀπέφηνεν οὐκ ἀφανῶν ἐθνῶν, κατέλεξε δὲ τοῖς δημοσίᾳ ἱππεύουσι καὶ τοῖς ἐν τῷ Μουσείῳ σιτουμένοις, τὸ δὲ Μουσεῖον τράπεξα Αἰγυπτία ξυγκαλοῦσα τοὺς ἐν πάσῃ τῇ γῇ ἐλλογίμους. πλείστας δὲ ἐπελθὼν πόλεις καὶ πλείστοις ἐνομιλήσας ἔθνεσιν οὔτε ἐρωτικήν ποτε αἰτίαν ἔλαβεν οὔτε ἀλαζόνα ὑπὸ τοῦ σωφρονέστατός τε φαίνεσθαι καὶ*
10 *ἐφεστηκώς. οἱ δὲ ἀνατιθέντες Διονυσίῳ τὸν Ἀράσπαν τὸν τῆς Πανθίας ἐρῶντα ἀνήκοοι μὲν τῶν τοῦ Διονυσίου ῥυθμῶν, ἀνήκοοι δὲ τῆς ἄλλης ἑρμηνείας, ἄπειροι δὲ τῆς τῶν ἐνθυμημάτων τέχνης· οὐ γὰρ Διονυσίου τὸ φρόντισμα τοῦτο, ἀλλὰ Κέλερος τοῦ τεχνογράφου, ὁ δὲ Κέλερ βασιλικῶν μὲν ἐπιστολῶν ἀγαθὸς προστάτης, μελέτῃ δὲ οὐκ ἀποχρῶν, Διονυσίῳ δὲ τὸν ἐκ μειρακίου χρόνον διάφορος.*

IV 15 *Μηδ' ἐκεῖνα παρείσθω μοι Ἀριστείου γε ἠκροαμένῳ αὐτὰ πρεσβυτάτου τῶν κατ' ἐμὲ Ἑλλήνων καὶ πλεῖστα ὑπὲρ σοφιστῶν εἰδότος· ἐγήρασκε μὲν ὁ Διονύσιος ἐν δόξῃ λαμπρᾷ, παρῄει δ' ἐς ἀκμὴν ὁ Πολέμων οὔπω γιγνωσκόμενος τῷ Διονυσίῳ καὶ ἐπεδήμει ταῖς Σάρδεσι ἀγορεύων δίκην*
525 *ἐν τοῖς ἑκατὸν ἀνδράσιν, ὑφ' ὧν ἐδικαιοῦτο ἡ Λυδία. ἐσπέρας οὖν ἐς τὰς Σάρδεις ἥκων ὁ Διονύσιος ἤρετο Δωρίωνα τὸν κριτικὸν ξένον ἑαυτοῦ· „εἰπέ μοι," ἔφη „ὦ Δωρίων, τί Πολέμων*
20 *ἐνταῦθα;" καὶ ὁ Δωρίων „ἀνὴρ" ἔφη „πλουσιώτατος τῶν ἐν Λυδίᾳ κινδυνεύων περὶ τῆς οὐσίας ἄγει συνήγορον τὸν Πολέμωνα ἀπὸ τῆς Σμύρνης πείσας διταλάντῳ μισθῷ, καὶ ἀγωνιεῖται τὴν δίκην αὔριον." καὶ ὁ Διονύσιος „οἷον" ἔφη „ἕρμαιον εἴρηκας, εἰ καὶ ἀκοῦσαί μοι ἔσται Πολέμωνος οὔπω ἐς πεῖραν αὐτοῦ ἀφιγμένῳ." „ἔοικεν" εἶπεν ὁ Δωρίων „στρέφειν σε ὁ νεανίας ἐς ὄνομα*
25 *ἤδη προβαίνων μέγα." „καὶ καθεύδειν γε οὐκ ἐᾷ, μὰ τὴν Ἀθηνᾶν," ἦ δ' ὁ Διονύσιος „ἀλλ' ἐς πήδησιν ἄγει τὴν καρδίαν καὶ τὴν γνώμην ἐνθυμουμένῳ, ὡς πολλοὶ οἱ ἐπαινέται αὐτοῦ, καὶ τοῖς μὲν δωδεκάκρουνος δοκεῖ τὸ στόμα, οἱ δὲ καὶ πήχεσι διαμετροῦσιν αὐτοῦ τὴν γλῶτταν, ὥσπερ τὰς τοῦ Νείλου ἀναβάσεις. σὺ δ' αὖ ταύτην ἰάσαιό μοι τὴν φροντίδα εἰπών, τί μὲν πλέον, τί δὲ ἧττον ἐν ἐμοί τε κἀκείνῳ καθεώρακας." καὶ ὁ Δωρίων μάλα σωφρόνως „αὐτός," εἶπεν „ὦ Διονύσιε, σεαυτῷ τε κἀκείνῳ δικάσεις ἄμεινον, σὺ γὰρ ὑπὸ σοφίας οἷος σαυτόν τε γιγνώσκειν, ἕτερόν*

1. ἐπεὶ. π, E. ib. ἀκροάσῃ. k. ib. οἱ δὴ. 1. οἱ δὲ. 2, 3, E. 2. ἀπήγγελλον. 1, μ, h, p ex corr. ἀπήγγειλον. E. ib. ξυνειληφότες. r, f, ρ, k et p ex corr o. ξυνειλοχότες. R, β, μ, v, g, π. συναλοχόντες. h. ξυνειληχότες. μ ex corr. e, m. 3. τέχνην. 1. τέχνῃ. 2, 3, E. ib. πεποιημένοι. 1. πεπαιδευμένοι. 2, 3, E. ib. ὅθεν. R, f, ρ, k, μ. 4. ἐσπερμολογῆσθαι. π. ib. ἄλλου ἄλλο. β, g. ἄλλο ἄλλων. μ, v. ib. ξυνενεγκόντος. g ex corr.

5. αὐτῶν. π. 6. δὴ. r, k. ἐπὶ βασιλέως. k. ib. ἀπέφηνας. R. ἀπέφαινεν. r. ib. κατέλεξε. C, E. Fo: ἐγκατέλεξε. 7. ἱππεῦσι. f, ρ, k. 9. ἔθνεσιν. μ. ἤθησιν. β. ἤθεσιν. ς. ib. ὑπὲρ τοῦ. R, f, k, β. 10. Πανθείας. r, f, β, h. Παρθέας. R. 13. Διονυσίου. r, f.

15. μοι om. R. ib. ἠκροαμένῳ. p. ἠκροασαμένῳ. r, μ. ἠχροαμένου. f. ἠκροαμένου. k, β, v, ox, h, π, g. ἀκροασαμένου. e, m. ἀκροασαμένῳ. o. 16. ὑπὲρ σοφιστῶν. r, f, k. ὑπὲρ τῶν σοφιστῶν. ς. ib. λαμπρᾷ. g. 17. ἀλκμὴν. R. ib. ἐπιδημεῖ. r, f. ib. Σάρδεσιν. R. 19. Δωρίων αὐτῶν. v. ib. ὁ Δωρίων. E. ib. τί Πολέμων. β. τι — Δωρίων om. R, r et k, ubi addit. mg. ἔστι Π. f, k, 2, 3, E. 20. καὶ om. k. 21. ἀπὸ τῆς Σμύρνης. R, r. δι ἀπὸ Σμύρνης. ς. ib. διταλάντω. β, k, μ, 3, E. ταλάντῳ. ρ. sic. ταλάντῳ. R, r, f. διαταλάντῳ. v. δὲ ταλάντῳ. h. ib. καὶ om. f. 22. εἴρηκεν. R. ib. εἰ καὶ. R, r, f, k, et p ex corr. εἰ. β, 2, 3, E. ib. μου. R. μὰ 23. ἔφη. μ. ib. τρέφειν. R. 24. προυβαίνων. f. ib. μὰ. r, f, ρ, k. νὴ. p. (sic corr.) νὴ. R, β, h, φ, π, g, E. μὰ om. μ, v. ib. τὴν Ἀθηνᾶν om. μ, v. 25. ἐπὶ πήδησιν. π, g. ib. οἱ om. m, o. 26. δωδεκάκρουνος. R, r, β. δωδεκάκρονος. f. δωδεκάκρουνον. ρ, 2, 3, E. δωδεκάκρυνον. k. ib. αὐτοῦ. R. αὐτοῦ om. ς. ib. διαμαρτύρουσι. g. 27. σὺ δ' αὖ. 1. σὺ δ'. 2, 3, E. 28. κἀκείνῳ Διονύσιε. r. ib. καθώρακας. μ, v, e, m. 29. δικάσεις. r, f, β. δικάσης. k. δικάσαις. ς. ib. ὑπὲρ. β. ib. αὐτόν τε. k.

I, 22, §. 3, 4. p. 524. 525. = 37. 38. 39.

τε μὴ ἀγνοῆσαι." ἤκουσεν ὁ Διονύσιος ἀγωνιζομένου τὴν δίκην καὶ ἀπιὼν τοῦ δικαστηρίου „ἰσχὺν" ἔφη „ὁ ἀθλητὴς ἔχει, ἀλλ' οὐκ ἐκ παλαίστρας." ταῦτα ὡς ἤκουσεν ὁ Πολέμων, ἦλθε μὲν ἐπὶ θύρας τοῦ Διονυσίου μελέτην αὐτῷ ἐπαγγέλλων, ἀφικομένου δὲ διαπρεπῶς ἀγωνιζόμενος προσῆλθε τῷ Διονυσίῳ καὶ ἀντερείσας τὸν ὦμον, ὥσπερ οἱ τῆς σταδιαίας πάλης ἐμβιβάζοντες, 526
μάλα ἀστείως ἐπετώθασεν εἰπὼν 5

„ἦσάν ποτ', ἦσαν ἄλκιμοι Μιλήσιοι."

Ἀνδρῶν μὲν οὖν ἐπιφανῶν πᾶσα γῆ τάφος, Διονυσίῳ δὲ σῆμα ἐν τῇ ἐπιφανεστάτῃ Ἐφέσῳ, v
τέθαπται γὰρ ἐν τῇ ἀγορᾷ κατὰ τὸ κυριώτατον τῆς Ἐφέσου, ἐν ᾗ κατεβίω παιδεύσας τὸν πρῶτον βίον ἐν τῇ Λέσβῳ.

κγ'. Λολλιανὸς δὲ ὁ Ἐφέσιος προῦστη μὲν τοῦ Ἀθήνησι θρόνου πρῶτος, προῦστη δὲ καὶ 10
τοῦ Ἀθηναίων δήμου στρατηγήσας αὐτοῖς τὴν ἐπὶ τῶν ὅπλων, ἡ δὲ ἀρχὴ αὕτη πάλαι μὲν κατέλεγέ τε καὶ ἐξῆγεν ἐς τὰ πολέμια, νυνὶ δὲ τροφῶν ἐπιμελεῖται καὶ σίτου ἀγορᾶς. θορύβου δὲ καθεστηκότος παρὰ τὰ ἀρτοπώλια καὶ τῶν Ἀθηναίων βάλλειν αὐτὸν ὡρμηκότων Παγκράτης ὁ κύων ὁ μετὰ ταῦτα ἐν Ἰσθμῷ φιλοσοφήσας παρελθὼν ἐς τοὺς Ἀθηναίους καὶ εἰπὼν „Λολλιανὸς οὐκ ἔστιν ἀρτοπώλης, 15
ἀλλὰ λογοπώλης" διέχεεν οὕτω τοὺς Ἀθηναίους, ὡς μεθεῖναι τοὺς λίθους διὰ χειρὸς αὐτοῖς ὄντας. σίτου δὲ ἐκ Θετταλίας ἐσπεπλευκότος καὶ χρημάτων δημοσίᾳ οὐκ ὄντων ἐπέτρεψεν ὁ Λολλιανὸς ἔρανον τοῖς αὐτοῦ γνωρίμοις, καὶ χρήματα συνεχνὰ ἠθροίσθη. καὶ τοῦτο μὲν ἀνδρὸς εὐμηχάνου δόξει καὶ σοφοῦ τὰ πολιτικά, ἐκεῖνο δὲ δικαίου τε καὶ εὐγνώμονος· τὰ γὰρ χρήματα ταῦτα 527
τοῖς ξυμβαλομένοις ἀπέδωκεν ἐπανελὼν τὸν μισθὸν τῆς ἀκροάσεως.

Ἔδοξε δὲ ὁ σοφιστὴς οὗτος τεχνικώτατός τε καὶ φρονιμώτατος τὸ ἐπιχειρηματικὸν ἐν ἐπινοίᾳ 20 11
τεχνικῇ κείμενον ἱκανῶς ἐκπονῆσαι, καὶ ἑρμηνεῦσαι μὲν ἀποχρῶν, νοῆσαι δὲ καὶ τὰ νοηθέντα τάξαι ἀπέριττος. διαφαίνονται δὲ τοῦ λόγου καὶ λαμπρότητες λήγουσαι ταχέως, ὥσπερ τὸ τῆς ἀστραπῆς σέλας. δηλοῦται δὲ τοῦτο ἐν πᾶσι μέν, μάλιστα δὲ ἐν τοῖσδε· κατηγορῶν μὲν γὰρ τοῦ Λεπτίνου διὰ τὸν νόμον, ἐπεὶ μὴ ἐφοίτα τοῖς Ἀθηναίοις ἐκ τοῦ Πόντου σῖτος, ὧδε ἤκμασεν· 25
„κέκλεισται τὸ στόμα τοῦ Πόντου νόμῳ καὶ τὰς Ἀθηναίων τροφὰς ὀλίγαι κωλύουσι συλλαβαί, καὶ ταὐτὸν δύναται Λύσανδρος ναυμαχῶν καὶ Λεπτίνης νομομαχῶν," ἀντιλέγων δὲ τοῖς Ἀθηναίοις ἀπορίᾳ χρημάτων βουλευομένοις πωλεῖν τὰς νήσους ὧδε ἔπνευσεν· „λῦσον, ὦ Πόσειδον, τὴν ἐπὶ Δήλῳ χάριν, συγχώρησον αὐτῇ πωλουμένῃ φυγεῖν." ἐσχεδίαζε μὲν οὖν κατὰ τὸν Ἰσαῖον, οὗ δὴ καὶ ἠκροάσατο, μισθοὺς δὲ γενναίους
ἐπράττετο τὰς συνουσίας οὐ μελετηρὰς μόνον, ἀλλὰ καὶ διδασκαλικὰς παρέχων. εἰκόνες δὲ 30
αὐτοῦ Ἀθήνησι μία μὲν ἐπ' ἀγορᾶς, ἑτέρα δὲ ἐν τῷ ἄλσει τῷ μικρῷ, ὅ αὐτὸς λέγεται ἐκφυτεῦσαι.

2. ὁ ἀθλητὴς ἔφη ἔχει R. ὁ om. E. 4. τοῦ Διονυσίου. μ. ὁ Διονύσιος. E. ib. τῆς om. h. 5. ἐπετώθαζεν. π. ἀπετώθασεν. 2, E.
7. Διονυσίῳ. 1. Διονυσίου. 2, 3, E. ib. δὲ τάφος. v. ib. τῇ ἐπιφανεστάτῳ. h. 8. θάπτεται γὰρ. μ. τέθαπται δὲ. h. ib. τῆς om. f. 9. τῇ om. β, 2, 3, E.
11. κατέλεγέν τε. R. 12. ἤγεν. r. 13. παρὰ τὰ. r, f, k, β. περὶ τὰ. R. ἐπὶ τὰ. 2, 3, E. ib. αὐτῶν. β. ib. ἐπιχειρούντων. R. ib. Παγκράτης. r, f, k, β, p, π, g. Παγκράτιος. 2, E. Παγκράτως οὖν. R. Παγκράτους. φ. 14. ἀρτοπώλια ἀλλὰ λογοπώλια. g. 15. διεχέθη. k. διέχε. v. διεχέθησαν. g. ib. διὰ χειρὸς. R, f, β. διὰ χειρῶν. r, k, 2, 3, E. 16. ἐξ Ἰταλίας ἐκπεπλευκότος. R. 18. ἐκεῖνος. 1. ib. γὰρ om. f, ρ, k. 19. ξυμβαλομένοις. 2, g. ξυμβαλλομένοις. 1, p, φ, π, E.
20. ἐπιχείρημα. 2 (ἐπιχήρημα. ν). epicherematicum. Bonf. 21. κείμενος. R. ib. ἱκανὸς. β. ib. νοῆσαι δὲ. μ, ν, π. νοῆσαί τε. ζ. ib. τὰ ῥηθέντα τάξαι ἀπεριτρέπτως. g. 22. ὡς παρὰ τὸ. f. 24. Πόντου. R. ib. ἤκμασε. E. ἤκμασεν. r, f. 25. τοῦ om. r. ib. πάντα πολέμου. R. ib. νόμους. β. νόμου. R. ib. Ἀθηναίας τροφὰς ὀλίγας. R. 26. συλλαβὰς. R. ib. νομομαχῶν. p in mg. γρ. νομοθετῶν. p in ord. 1, 2, 3, E. 27. βουλευομένοις. R, r, β, π, g. βουλομένοις. ζ. 28. τῇ ἐπὶ. r. ib. ἀπολουμένῃ. π, g. 30. μελετήσας. R. μελετικὰς. h. 31. μὲν αὐτοῦ. v. ib. λέγει ἐκφυτεῦσαι. R.

κδ'. Οὐδὲ τὸν Βυζάντιον σοφιστὴν παραλείψω Μάρκον, ὑπὲρ οὗ κἂν ἐπιπλήξαιμι τοῖς
528 Ἕλλησιν, εἰ τοιόσδε γενόμενος, ὁποῖον δηλώσω, μήπω τυγχάνοι τῆς ἑαυτοῦ δόξης. Μάρκῳ τοίνυν ἦν ἀναφορὰ τοῦ γένους ἐς τὸν ἀρχαῖον Βύζαντα, πατὴρ δὲ ὁμώνυμος ἔχων θαλαττουργοὺς οἰκέτας ἐν Ἱερῷ, τὸ δὲ Ἱερὸν παρὰ τὰς ἐκβολὰς τοῦ Πόντου. διδάσκαλος δὲ αὐτοῦ Ἰσαῖος ἐγένετο, παρ' οὗ καὶ τὸ κατὰ φύσιν ἑρμηνεύειν μαθὼν ἐπεκόσμησεν αὐτὸ ὡραισμένῃ πραότητι. καὶ παράδειγμα ἱκανώτατον τῆς Μάρκου ἰδέας ὁ Σπαρτιάτης ὁ ξυμβουλεύων τοῖς Λακεδαιμονίοις μὴ παραδέχεσθαι τοὺς ἀπὸ Σφακτηρίας γυμνοὺς ἥκοντας. τῆσδε γὰρ τῆς ὑποθέσεως ἤρξατο ὧδε· „ἀνὴρ Λακεδαιμόνιος μέχρι γήρως φυλάξας τὴν ἀσπίδα ἡδέως μὲν ἂν τοὺς γυμνοὺς τούτους ἀπέκτεινα." ὅστις δὲ καὶ τὰς διαλέξεις ὅδε ὁ ἀνὴρ ἐγένετο, ξυμβαλεῖν ἐστιν ἐκ τῶνδε· διδάσκων γὰρ περὶ τῆς τῶν σοφιστῶν τέχνης, ὡς πολλὴ καὶ ποικίλη, παράδειγμα τοῦ λόγου τὴν ἶριν ἐποιήσατο καὶ ἤρξατο τῆς διαλέξεως ὧδε· „ὁ τὴν ἶριν ἰδών, ὡς ἓν χρῶμα, οὐκ εἶδεν, ὡς θαυμάσαι, ὁ δέ, ὅσα χρώματα, μᾶλλον ἐθαύμασεν." οἱ δὲ τὴν διάλεξιν ταύτην Ἀλκινόῳ τῷ Στωικῷ ἀνατιθέντες διαμαρτάνουσι μὲν ἰδέας λόγου, διαμαρτάνουσι δὲ ἀληθείας, ἀδικώτατοι δ' ἀνθρώπων εἰσὶ προσαφαιρούμενοι τὸν σοφιστὴν καὶ τὰ οἰκεῖα.

11 15 Τὸ δὲ τῶν ὀφρύων ἦθος καὶ ἡ τοῦ προσώπου σύννοια σοφιστὴν ἐδήλου τὸν Μάρκον, καὶ γὰρ ἐτύγχανεν ἀεί τι ἐπισκοπῶν τῇ γνώμῃ καὶ ἀναπαιδεύων ἑαυτὸν τοῖς ἐς τὸ σχεδιάζειν ἄγουσι. καὶ τοῦτο ἐδηλοῦτο μὲν τῇ τῶν ὀφθαλμῶν στάσει πεπηγότων τὰ πολλὰ ἐς ἀπορρήτους ἐννοίας, ὡμολογήθη δὲ καὶ ὑπὸ τοῦ ἀνδρός· ἐρομένου γάρ τινος αὐτὸν τῶν ἐπιτηδείων, ὅπως χθὲς ἐμε-
529 λέτα „ἐπ' ἐμαυτοῦ μὲν" ἔφη „λόγου ἀξίως, ἐπὶ δὲ τῶν γνωρίμων ἧττον." θαυμάσαντος δὲ τὴν
20 ἀπόκρισιν. „ἐγὼ" ἔφη ὁ Μάρκος „καὶ τῇ σιωπῇ ἐνεργῷ χρῶμαι καὶ γυμνάζουσί με δύο ὑποθέσεις καὶ τρεῖς ὑπὸ τὴν μίαν, ἣν ἐς τὸ κοινὸν ἀγωνίζομαι." γενειάδος δὲ καὶ κόμης αὐχμηρῶς εἶχεν, ὅθεν ἀγροικότερος ἀνδρὸς πεπνυμένου ἐδόκει τοῖς πολλοῖς. τουτὶ δὲ καὶ Πολέμων ὁ σοφιστὴς πρὸς αὐτὸν ἔπαθεν· παρῆλθε μὲν γὰρ ἐς τὴν τοῦ Πολέμωνος διατριβὴν ὀνομαστὸς ἤδη ὤν, ξυγκαθημένων δὲ τῶν ἐς τὴν ἀκρόασιν ἀπηντηκότων ἀναγνούς τις αὐτὸν τῶν ἐς τὸ Βυζάντιον πεπλευκότων
25 διεμήνυσε τῷ πέλας, ὁ δὲ τῷ πλησίον, καὶ διεδόθη ἐς πάντας, ὅτι ὁ Βυζάντιος εἴη σοφιστής, ὅθεν τοῦ Πολέμωνος αἰτοῦντος τὰς ὑποθέσεις ἐπεστρέφοντο πάντες ἐς τὸν Μάρκον, ἵνα προβάλοι. τοῦ δὲ Πολέμωνος εἰπόντος „τί ἐς τὸν ἄγροικον ὁρᾶτε; οὐ γὰρ δώσει γε οὗτος ὑπόθεσιν" ὁ Μάρκος ἐπάρας τὴν φωνήν, ὥσπερ εἰώθει, καὶ ἀνακύψας „καὶ προβαλοῦμαι" ἔφη „καὶ μελετήσομαι."

1. τοῦδε τὸν. R. σοφιστὴν παραλείψω Μάρκον. r, β, 2, 3, E. σοφιστὴν παραλείψω Παῦλον Μάρκον. R. παραλείψω Μάρκον τὸν σοφιστήν. f, ρ, k. 2. δηλῶ. 2. ib. τυγχάνοι. p. τυγχάνει. r, β, μ, π, g. τυγχάνῃ. f in rasura et E. 3. ἦν ἀναφορὰ. 1. ἡ ἀναφορὰ. 2, 3, E. ib. θαλασσουργοὺς. r. θαλατουργοὺς. R, μ, h. 4. ἐν ἱερῷ. f, k. ἐφ' ἱερῷ. ς. Sc. ἐν Ἱερῷ. ib. περὶ τὰς. r. ἐπὶ τὰς. f, β. ib. δὲ om. g. ib. παρ οὗ — μαθὼν. Θ. v. ἑρμηνεία. 5. αὐτὸ. r, β, μ, p. αὐτῷ. ς. 6. παραδέχεσθαι. R. δέχεσθαι. ς. 9. ἀπέκτεινα. R, r, f, β. ἀπέκτειναν. k. ἀπέκτεινεν. 2, 3, E. ib. ὅδε ὁ. f, k, 2. ὅδε. (om. ὁ.) R, r, β, 3, e. 10. γὰρ om. R. 12. εἶδεν, ὡς θαυμάσαι. 1, p, h. εἶδεν χρὴ θαυμάσαι. v. οἶδεν ὡς θαυμάσαι. μ, π, g. εἶδεν ὡς θαυμάσαι. φ. al. m. suprascr. εἶδεν ὡς χρὴ θαυμάσαι. E. 13. Στοικῷ. r. ib. ἰδέας λόγου, διαμαρτάνουσι δὲ om. R, r et ρ a pr. m.

16. ἐτύγχανεν ἔτι. R, r, f. ib. αὐτὸν. π. αὐτὸν. g. 18. ὁμολογηθὲν δὲ ὑπὸ. R. 19. ἄξιος. R. ib. θαυμάσαντος. C. θαυμάζοντος. E. 20. ὁ Μάρκος om. R. ib. καὶ τῇ μσει πη. R. ib. δύο ὑποθέσεις καὶ τρεῖς. R. δύο ἢ τρεῖς ὑποθέσεις. k. δύο καὶ τρεῖς ὑποθέσεις. ς. 21. ὑπὸ τὴν. 1 (ὑπὸ ἐπὶ τὴν. β). ἐπὶ τὴν. 2, 3, E. 22. πεπηγυμένου. g. ib. τοῖς πολλοῖς om. μ. 24. τῶν — πεπλευκότων om. 2, φ, π, g, e. ib. τῶν εἰς τὸ Βυζάντιον. r, p. τῶν εἰς Βυζάντιον. R, f, k. 25. διεμηνύσετο pr. m. et διεμήνυσε τὸν. ex corr. r. 26. ἐπεστρέφοντο πάντες ἐς τὸν Μάρκον. 2, 3, E. ἐπιστρέφοντός τε ἐς τὸν Μάρκον τινὸς. R, r, f, β et ρ a pr. m. ἐπεστρέφοντο πάντες τε εἰς τὸν Μάρκον τινὸς ex corr. ρ. ἐπίστρεφον τότε πάντες ἐς τὸν Μάρκον τινός. k. ib. προβάλοι. r, f, β, ν, p. προλάβοι. R. προβάλλη. μ. προβάλλοι. π, g. προβάλῃ. E. 28. ἀνακύψας. R, f, β et ρ. ubi in mg. γρ. τραχὺ βλέψας. ut est in k, 2, 3, E. ταχύψας. r. ib. καὶ προβαλοῦμαι ἔφη. R, r, 2, 3, E. προβαλοῦμαι ἔφη om. καὶ. β. προβαλοῦμε καὶ μαι ἔφη. f. item om. καὶ. προβαλοῦμε ἔφη. ρ a sec. m. Fo: „καὶ προβαλοῦμεν" ἔφη „καὶ μελετήσομεν."

1, 24, §. 2. p. 528. 529. = 40. 41. 42.

ἔνθεν ἐλὼν ὁ Πολέμων καὶ ξυνιεὶς δωριάζοντος διελέχθη ἐς τὸν ἄνδρα πολλά τε καὶ θαυμάσια ἐφιεὶς τῷ καιρῷ, μελετήσας δὲ καὶ μελετῶντος ἀκροασάμενος καὶ ἐθαυμάσθη καὶ ἐθαύμασεν.

Μετὰ ταῦτα δὲ ἦκων ὁ Μάρκος ἐς τὰ Μέγαρα, οἰκισταὶ δὲ Βυζαντίων, ἐστασίαζον μὲν οἱ 111
Μεγαρεῖς πρὸς τοὺς Ἀθηναίους ἀκμαζούσαις ταῖς γνώμαις, ὥσπερ ἄρτι τοῦ πινακίου ἐπ' αὐτοὺς γεγραμμένου, καὶ οὐκ ἐδέχοντο σφᾶς ἐς τὰ Πύθια τὰ μικρὰ ἥκοντας. παρελθὼν δὲ ἐς μέσους ὁ Μάρκος οὕτω τι μεθήρμοσε τοὺς Μεγαρέας, ὡς ἀνοῖξαι πεῖσαι τὰς οἰκίας καὶ δέξασθαι τοὺς Ἀθηναίους ἐπὶ γυναῖκάς τε καὶ παῖδας. ἠγάσθη αὐτὸν καὶ Ἀδριανὸς ὁ αὐτοκράτωρ πρεσβεύοντα ὑπὲρ Βυζαντίων, ἐπιτηδειότατος τῶν πάλαι βασιλέων γενόμενος ἀρετὰς αὐξῆσαι. 530

κέ. Πολέμων δὲ ὁ σοφιστὴς οὔθ', ὡς οἱ πολλοὶ δοκοῦσι, Σμυρναῖος, οὔθ', ὥς τινες, ἐκ Φρυγῶν, ἀλλὰ ἤνεγκεν αὐτὸν Λαοδίκεια ἡ ἐν Καρίᾳ, ποταμῷ πρόσοικος Λύκῳ, μεσογεία μέν, δυνατωτέρα δὲ τῶν ἐν θαλάττῃ. ἡ μὲν δὴ τοῦ Πολέμωνος οἰκία πολλοὶ ὕπατοι καὶ ἔτι, ἐρασταὶ δὲ αὐτοῦ πολλαὶ μὲν πόλεις, διαφερόντως δὲ ἡ Σμύρνα· οὗτοι γὰρ ἐκ μειρακίου κατιδόντες τι ἐν αὐτῷ μέγα πάντας τοὺς οἴκοι στεφάνους ἐπὶ τὴν τοῦ Πολέμωνος κεφαλὴν συνήνεγκαν, αὐτῷ τε ψηφισάμενοι καὶ γένει τὰ οἴκοι ζηλωτά, προκαθῆσθαι γὰρ τῶν Ἀδριανῶν Ὀλυμπίων ἔδοσαν τῷ ἀνδρὶ καὶ ἐγγόνοις, καὶ τῆς ἱερᾶς τριήρους ἐπιβατεύειν. πέμπεται γάρ τις μηνὶ Ἀνθεστηριῶνι 531
μεταρσία τριήρης ἐς ἀγοράν, ἣν ὁ τοῦ Διονυσίου ἱερεύς, οἷον κυβερνήτης, εὐθύνει πείσματα ἐκ θαλάττης λύουσαν.

Ἐνσπουδάζων δὲ τῇ Σμύρνῃ τάδε αὐτὴν ὤνησεν· πρῶτα μὲν τὴν πόλιν πολυανθρωποτάτην 11
αὐτῆς φαίνεσθαι, νεότητος αὐτῇ ἐπιρρεούσης ἐξ ἠπείρων τε καὶ νήσων οὐκ ἀκολάστου καὶ ξυγκλύδος, ἀλλ' ἐξειλεγμένης τε καὶ καθαρᾶς Ἑλλάδος, ἔπειτα ὁμονοοῦσαν καὶ ἀστασίαστον πολιτεύειν, τὸν γὰρ πρὸ τοῦ χρόνον ἐστασίαζεν ἡ Σμύρνα καὶ διεστήκεσαν οἱ ἄνω πρὸς τοὺς ἐπὶ θαλάττῃ. πλείστου δὲ ἄξιος τῇ πόλει καὶ τὰ πρεσβευτικὰ ἐγένετο φοιτῶν παρὰ τοὺς αὐτοκράτορας καὶ προαγωνιζόμενος τῶν ἠθῶν. Ἀδριανὸν γοῦν προσκείμενον τοῖς Ἐφεσίοις οὕτω τι μετεποίησε τοῖς Σμυρναίοις, ὡς ἐν ἡμέρᾳ μιᾷ μυριάδας χιλίας ἐπαντλῆσαι αὐτὸν τῇ Σμύρνῃ, ἀφ' ὧν τά τε τοῦ σίτου ἐμπόρια ἐξεποιήθη καὶ γυμνάσιον τῶν κατὰ τὴν Ἀσίαν μεγαλοπρεπέστατον καὶ νεὼς τηλε-
φανὴς ὁ ἐπὶ τῆς ἄκρας ἀντικεῖσθαι δοκῶν τῷ Μίμαντι. καὶ μὴν καὶ τοῖς ἁμαρτανομένοις δημοσίᾳ ἐπιπλήττων καὶ κατὰ σοφίαν πλεῖστα νουθετῶν ὠφέλει, ὕβριν τε ὁμοίως ἐξῄρει καὶ ἀγερωχίαν πᾶσαν, τοσούτῳ πλέον, ὅσῳ μηδὲ τοῦ Ἰωνικοῦ ἀπεθίζειν. ὠφέλει δὲ κἀκεῖνα δήπου· τὰς δίκας 532
τὰς πρὸς ἀλλήλους οὐκ ἄλλοσέ ποι ἐκφοιτᾶν εἶα, ἀλλ' οἴκοι ἔπανεν. λέγω δὲ τὰς ὑπὲρ χρημάτων, τὰς γὰρ ἐπὶ μοιχοὺς καὶ ἱεροσύλους καὶ σφαγέας, ὧν ἀμελουμένων ἄγη φύεται, οὐκ ἐξάγειν

1. ξυνιεὶς. C. ξυνείς. E. ib. πρὸς τὸν ἄνδρα. R. ib. καὶ μεγάλα καὶ θαυμάσια. φ, E. 2. ἐθαύμαζε. μ.
3. μετὰ ταῦτα δὲ. h. καὶ μετὰ ταῦτα. k. μετὰ ταῦτα γὰρ. ς. ib. οἰκισταὶ δὲ. C, E. Fo: οἰκισταὶ δὲ οὗτοι. 4. ἐπ' αὐτοὺς τοῦ γεγραμμένου. r. 6. οὕτω μεθήρμοσεν. R. 7. ὁ Ἀνδριανὸς. k. Ἀνδριανός. μ. 8. τῶν πάντων. 2.
9. ὡς πολλοὶ. g. 10. ἀλλὰ ἤνεγκεν. r. ἀλλ' ἦν. ς. ib. Λαοδίνεια. R. ib. σύνοικος. R. 11. ἐν θαλάττῃ. h. ἐπὶ θαλάττῃ. ς. (θαλάσσῃ. r, f.) 12. δὲ om. 2, g, e. ib. μὲν om. R. ib. διαφέρουσα ἡ Σμύρνα. h. διαφέροντος. π. ib. οὗτοι μὲν γὰρ. f, k, o. 13. ἀνήνεγκαν. R. 14. ψηφίσασθαι. R. ib. καὶ τὰ. R. ib. Ἀδριανῶν. 1 et p ex corr. (Ἀνδριανῶν. k). Ἀδριανοῦ. 2, 3, E (Ἀνδριανοῦ. h). 16. ἐπ' ἀγορὰν. R. ib. ἰθύνει. k, o.
18. δὲ om. e, m. ib. πρῶτα μὲν. 1. πρῶτον μὲν. 2, 3, E. 19. αὐτῆς. C, E. Scr. αὐτῆς. 20. ἐξειλεγμένης. r. ib. καθαρᾶς Ἑλλάδος. r et ρ, p ex corr. καθαρᾶς. ς. 21. χρόνου. β. ib. οἱ ἄνοι. R. 22. τῇ om. f. ib. πρεσβυτικὰ. g. ib. φοιτῶν παρὰ. R, r. φοιτῶν τε παρὰ. ς. ib. τοῦ αὐτοκράτορος. R. 23. οὖν. μ. ib. ἐγκείμενον. R. ib. οὕτω τοι. μ, p. 24. μιᾷ om. μ. ib. μυριάδας χιλίας. r, f, k, β. χιλιάδας μυρίας. R. χιλίας μυριάδας. 2, 3, E. ib. αὐτὸν τῇ Σμύρνῃ. r et p. in mg. αὐτῶν τῇ πόλει. R, k, β, 2, 3. αὐτὸν τῇ πόλει. E. 25. ἐμπόρεια. r. ἐμπορεῖα. R. ib. ἐποιήθη. β. 27. νουθετῶν ἠπείλει. β. ib. τε om. h. 28. ὅσον. r, f, ρ, k, β. ὅσῳ. R, 2, 3, E. ib. ἀπεθίζειν. C, E. Fo: ἀπεθίζειν ἦν. ib. ὠφέλεια. R. 29. ἄλλοσέ ποι. 1, μ, et g ex corr. ἄλλοσέ πη. ς. ib. ἐκφοιτᾶν εἶα. ρ, k et mg. in p. ἐκφοιτᾶν. ς (ἐκφοιτῶν. R). ib. ἔπαυσαν. R. ib. δὴ. h, π, g. ib. ὑπὲρ τῶν. f, k. ἐπὶ . . . μίων (sic) R. 30. μοιχείας. r. ib. φύρεται. R.

1, 24, §. 3, 25. §. 2. p. 530. 531. 532. = 42. 23.

παρεκελεύετο μόνον, ἀλλὰ καὶ ἐξωθεῖν τῆς Σμύρνης, δικαστοῦ γὰρ δεῖσθαι αὐτὰς ξίφος ἔχοντος. καὶ ἡ αἰτία δέ, ἣν ἐκ τῶν πολλῶν εἶχεν, ὡς ὁδοιποροῦντι αὐτῷ πολλὰ μὲν σκευοφόρα ἕποιτο, πολλοὶ δὲ ἵπποι, πολλοὶ δὲ οἰκέται, πολλὰ δὲ ἔθνη κυνῶν ἄλλα ἐς ἄλλην θήραν, αὐτὸς δὲ ἐπὶ ζεύγους ἀργυροχαλίνου Φρυγίου τινὸς ἢ Κελτικοῦ πορεύοιτο, εὔκλειαν τῇ Σμύρνῃ ἔπραττεν, πόλιν γὰρ δὴ λαμπρύνει μὲν ἀγορὰ καὶ κατασκευὴ μεγαλοπρεπὴς οἰκοδομημάτων, λαμπρύνει δὲ οἰκία εὖ πράττουσα, οὐ γὰρ μόνον δίδωσι πόλις ἀνδρὶ ὄνομα, ἀλλὰ καὶ αὐτὴ ἄρνυται ἐξ ἀνδρός. ἐπεσκοπεῖτο δὲ καὶ τὴν Λαοδίκειαν ὁ Πολέμων θαμίζων ἐς τὸν ἑαυτοῦ οἶκον καὶ δημοσίᾳ ὠφελῶν ὅ τι ἠδύνατο.

111 Τὰ δὲ ἐκ βασιλέων αὐτῷ τοιαῦτα· Τραιανὸς μὲν αὐτοκράτωρ ἀτελῆ πορεύεσθαι διὰ γῆς καὶ θαλάττης, Ἀδριανὸς δὲ καὶ τοῖς ἀπ' αὐτοῦ πᾶσιν, κατέλεξε δὲ αὐτὸν καὶ τῷ τοῦ Μουσείου κύκλῳ
533 ἐς τὴν Αἰγυπτίαν σίτησιν, ἐπί τε τῆς Ῥώμης ἀπαιτουμένου πέντε καὶ εἴκοσι μυριάδας ὑπεραπέδωκε ταῦτα τὰ χρήματα οὔτε εἰπόντος, ὡς δέοιτο, οὔτε προειπών, ὡς δώσοι. αἰτιωμένης δὲ αὐτὸν τῆς Σμύρνης, ὡς πολλὰ τῶν ἐπιδοθέντων σφίσιν ἐκ βασιλέως χρημάτων ἐς τὸ ἑαυτοῦ ἡδὺ καταθέμενον ἔπεμψεν ὁ αὐτοκράτωρ ἐπιστολὴν ὧδε ξυγκειμένην· „Πολέμων τῶν ἐπιδοθέντων ὑμῖν χρημάτων ὑπ' ἐμοῦ ἐμοὶ τοὺς λογισμοὺς ἔδωκεν.“ ταῦτα δὲ εἰ καὶ συγγνώμην ἐρεῖ τις, οὐκ ἦν δήπου συγγνώμην αὐτὸν τὴν ἐπὶ τοῖς χρήμασι μὴ οὐκ ἐς τὸ προὖχον τῆς ἄλλης ἀρετῆς εὖρασθαι. τὸ δὲ Ἀθήνησιν Ὀλύμπιον δι' ἑξήκοντα καὶ πεντακοσίων ἐτῶν ἀποτελεσθὲν καθιερώσας ὁ αὐτοκράτωρ, ὡς χρόνου μέγα ἀγώνισμα, ἐκέλευσε καὶ τὸν Πολέμωνα ἐφυμνῆσαι τῇ θυσίᾳ. ὁ δέ, ὥσπερ εἰώθει, στήσας τοὺς ὀφθαλμοὺς ἐπὶ τὰς ἤδη παρισταμένας ἐννοίας ἐπαφῆκεν ἑαυτὸν τῷ λόγῳ καὶ ἀπὸ τῆς κρηπῖδος τοῦ νεὼ διελέχθη πολλὰ καὶ θαυμάσια, προοίμιον ποιούμενος τοῦ λόγου τὸ μὴ ἀθεεὶ τὴν περὶ αὐτοῦ ὁρμὴν γενέσθαι οἱ. διήλλαξε δὲ αὐτῷ καὶ τὸν
534 ἑαυτοῦ παῖδα Ἀντωνῖνον ὁ αὐτοκράτωρ ἐν τῇ τοῦ σκήπτρου παραδόσει θεὸς ἐκ θνητοῦ γιγνόμενος. τουτὶ δὲ ὁποῖον, ἀνάγκη δηλῶσαι· ἦρξε μὲν γὰρ δὴ πάσης ὁμοῦ Ἀσίας ὁ Ἀντωνῖνος, καὶ κατέλυσεν ἐν τῇ τοῦ Πολέμωνος οἰκίᾳ ὡς ἀρίστῃ τῶν κατὰ τὴν Σμύρναν καὶ ἀρίστου ἀνδρός, νύκτωρ δὲ ἐξ ἀποδημίας ἥκων ὁ Πολέμων ἐβόα ἐπὶ θύραις, ὡς δεινὰ πάσχοι τῶν ἑαυτοῦ εἰργόμενος, εἶτα συννηνάγκασε τὸν Ἀντωνῖνον ἐς ἑτέραν οἰκίαν μετασκευάσασθαι. ταῦτα ἐγίγνωσκε μὲν ὁ αὐτοκράτωρ, ἠρώτα δὲ ὑπὲρ αὐτῶν οὐδέν, ὡς μὴ ἀναδέροιτο, ἀλλ' ἐνθυμηθεὶς τὰ μετ' αὐτὸν καὶ ὅτι πολλάκις καὶ τὰς ἡμέρους ἐκκαλοῦνται φύσεις οἱ προσκείμενοί τε καὶ παροξύνοντες ἔδεισε περὶ τῷ Πολέμωνι, ὅθεν ἐν ταῖς ὑπὲρ τῆς βασιλείας διαθήκαις „καὶ Πολέμων ὁ σοφιστὴς“ ἔφη „ξύμβουλος τῆς διανοίας ἐμοὶ ταύτης ἐγένετο,“ τῷ καὶ χάριν ὡς εὐεργέτῃ πράττειν τὴν συγγνώμην ἐκ περιουσίας ἑτοιμάζων. καὶ ὁ Ἀντωνῖνος ἠστείζετο μὲν πρὸς τὸν Πολέμωνα περὶ τῶν κατὰ τὴν Σμύρναν ἐνδεικνύμενός που τὸ μὴ ἐκλελῆσθαι, ταῖς δὲ ἑκάστοτε τιμαῖς ἐπὶ μέγα

1. δεῖσαι. R. 2. τῶν om. R. 3. ἄλλα δὲ. k. 4. Φρυγίου ἢ Κελτικοῦ τινός. μ, ν. ib. τῆς Σμύρνης. β. 5. μὲν om. R. ib. λαμπρύνει δὴ. R. 6. ἀλλ' αὐτὴ. k. 7. καὶ om. f. ib. Θαυμάζων καὶ. 2. τὸν αὐτοῦ. f, v, i, j, m, o. ib. δημοσίᾳ. r.

9. ἐκ βασιλέως. 1. ib. ἐπὶ τέλει. R. 10. Θαλάσσης. r. ib. κατέλεξε. C, E. Fo: ἐγκατέλεξε. 12. ταῦτα τὰ χρήματα. r, f, k et p ex corr. ταῦτα χρήματα. o. πάντα τὰ χρήματα. R. πάντα χρήματα. β, 2, 3, e, m. ib. προσειπὼν. r, E. ib. δέοι. R. 13. ὡς πολλὰ — χρημάτων om. μ, ox, h, π, g, e, m. ib. χρήματα. f, k. ib. ἑαυτοῦ. R, r. αὐτοῦ. f, p, π. ἑαυτῶν. μ. αὐτῶν. h. αὐτὸ. m. αὐτῷ. ς. 14. Πολέμων. p ex corr. Ἀντωνῖνος Πολέμων. cett. C et e, m. Ἀντώνιος Πολέμων. o. 15. χρημάτων ὑπ' ἐμοῦ. R. ὑπ' ἐμοῦ χρημάτων. ς. ib. δὲ om. ox. 21. τὸ μὴ. 1, o. μὴ om. 2, 3, e, m. ib. τὴν ὁρμὴν τοῦ λόγου. R. ib. δὲ om. 2, 3, E. 22. τοῦ om. R. ib. γιγνόμενος. R, r, f, β, μ, ν et p ex corr. γενόμενος. k, h, π, g, E. 23. μὲν γὰρ δὴ. R. μὲν γὰρ. r, f, k, β, ν, ox, h, p, π, E. μὲν. μ, g. ib. Ἀντωνῖνος ὁ αὐτοκράτωρ. μ. 24. τοῦ om. f, ρ. 25. πάσχοι. 1 et p ex corr. ve. πάσχειν. 2, 3, e. πάσχων. m, o. 27. δὲ ὑπὲρ. r. ὡς οὐδὲν. μ. ib. ἀναδύοιτο. β. 28. φύσεις ἐκκαλοῦνται. μ. 30. τῷ κατὰ χάριν et mg. γρ. καὶ χάριν. ρ. τῷ καὶ χάριν. o. τῷ κατὰ χάριν. cett. C et e, m. ib. καὶ εὐεργέτῃ πράττε. R. ὡς εὐεργέτῃ πράττε. r. 31. ἀτιμάζων. f. ἐτιμάζων. k. ib. καὶ Ἀντωνῖνος. π, g. ib. περὶ om. f.

I. 25. §. 3. p. 533. 534. = 43. 44. 45.

ἦρεν ἐγγυώμενός που τὸ μὴ μεμνῆσθαι. ἠστείζετο δὲ τὰ μέν· ἐς τὴν πόλιν ἥκοντος τοῦ Πολέμωνος περιβαλὼν αὐτὸν ὁ Ἀντωνῖνος „δότε“ ἔφη „Πολέμωνι καταγωγήν, καὶ μηδεὶς αὐτὸν ἐκβάλῃ.“ ὑποκριτοῦ δὲ τραγῳδίας ἀπὸ τῶν κατὰ τὴν Ἀσίαν Ὀλυμπίων, οἷς ἐπεστάτει ὁ Πολέμων, ἐφιέναι φήσαντος, ἐξελαθῆναι γὰρ παρ' αὐτοῦ κατ' ἀρχὰς τοῦ δράματος, ἤρετο ὁ αὐτοκράτωρ τὸν ὑποκριτήν, πηνίκα εἴη, ὅτε τῆς σκηνῆς ἠλάθη, τοῦ δὲ εἰπόντος, ὡς μεσημβρία τυγχάνοι οὖσα, μάλα ἀστείως ὁ αὐτοκράτωρ „ἐμὲ δὲ“ εἶπεν „ἀμφὶ μέσας νύκτας ἐξήλασε τῆς οἰκίας, καὶ οὐκ ἐφῆκα.“ 535

Ἐχέτω μοι καὶ ταῦτα δήλωσιν βασιλέως τε πράου καὶ ἀνδρὸς ὑπέρφρονος. ὑπέρφρων γὰρ δὴ οὕτω τι ὁ Πολέμων, ὡς πόλεσι μὲν ἀπὸ τοῦ προὔχοντος, δυνασταῖς δὲ ἀπὸ τοῦ μὴ ὑφειμένου, θεοῖς δὲ ἀπὸ τοῦ ἴσου διαλέγεσθαι. Ἀθηναίοις μὲν γὰρ ἐπιδεικνύμενος αὐτοσχεδίους λόγους, ὅτε καὶ πρῶτον Ἀθήναζε ἀφίκετο, οὐκ ἐς ἐγκώμια κατέστησεν ἑαυτὸν τοῦ ἄστεος, τοσούτων ὄντων, ἃ τις ὑπὲρ Ἀθηναίων εἶποι, οὐδ' ὑπὲρ τῆς ἑαυτοῦ δόξης ἐμακρηγόρησε, καίτοι καὶ τῆς τοιᾶσδε ἰδέας ὠφελούσης τοὺς σοφιστὰς ἐν ταῖς ἐπιδείξεσιν, ἀλλ' εὖ γιγνώσκων, ὅτι τὰς Ἀθηναίων φύσεις ἐπικόπτειν χρὴ μᾶλλον ἢ ἐπαίρειν διελέχθη ὧδε· „φασὶν ὑμᾶς, ὦ Ἀθηναῖοι, σοφοὺς εἶναι ἀκροατὰς λόγων· εἴσομαι.“ ἀνδρὸς δέ, ὃς ἦρχε μὲν Βοσπόρου, πᾶσαν δὲ Ἑλληνικὴν παίδευσιν ἥρμοστο, καθ' ἱστορίαν τῆς Ἰωνίας ἐς τὴν Σμύρναν ἥκοντος οὐ μόνον οὐκ ἔταξεν ἑαυτὸν ἐν τοῖς θεραπεύουσιν, ἀλλὰ καὶ δεομένου ξυνεῖναί οἱ θαμὰ ἀνεβάλετο, ἕως ἠνάγκασε τὸν βασιλέα ἐπὶ θύρας ἀφικέσθαι ἀπάγοντα μισθοῦ δέκα τάλαντα. ἥκων δὲ ἐς τὸ Πέργαμον, ὅτε δὴ τὰ ἄρθρα ἐνόσει, κατέδαρθε μὲν ἐν τῷ ἱερῷ, ἐπιστάντος δὲ αὐτῷ τοῦ Ἀσκληπιοῦ καὶ προειπόντος ἀπέχεσθαι ψυχροῦ ποτοῦ ὁ Πολέμων „βέλτιστε,“ εἶπεν „εἰ δὲ βοῦν ἐθεράπευες;“ IV

Τὸ δὲ μεγαλόγνωμον τοῦτο καὶ φρονηματῶδες ἐκ Τιμοκράτους ἔσπασε τοῦ φιλοσόφου, συγγενόμενος αὐτῷ ἥκοντι ἐς Ἰωνίαν ἐτῶν τεττάρων. οὐ χεῖρον δὲ καὶ τὸν Τιμοκράτην δηλῶσαι· ἦν μὲν γὰρ ἐκ τοῦ Πόντου ὁ ἀνὴρ οὗτος καὶ ἦν αὐτῷ πατρὶς Ἡράκλεια τὰ Ἑλλήνων ἐπαινοῦντες, ἐφιλοσόφει δὲ κατ' ἀρχὰς μὲν τοὺς ἰατρικοὺς τῶν λόγων, εἰδὼς εὖ τὰς Ἱπποκράτους τε καὶ Δημοκρίτου δόξας, ἐπεὶ δὲ ἤκουσεν Εὐφράτου τοῦ Τυρίου, πλήρεσιν ἰστίοις ἐς τὴν ἐκείνου φιλοσοφίαν ἀφῆκεν. ἐπιχολώτερος δὲ οὕτω τι ἦν τοῦ ξυμμέτρου, ὡς ὑπανίστασθαι αὐτῷ διαλεγομένῳ τήν τε γενειάδα καὶ τὰς ἐν τῇ κεφαλῇ χαίτας, ὥσπερ τῶν λεόντων ἐν ταῖς ὁρμαῖς. τῆς δὲ γλώττης εὐφόρως εἶχε καὶ σφοδρῶς καὶ ἑτοίμως, διὸ καὶ τῷ Πολέμωνι πλείστου ἦν ἄξιος ἀσπαζομένῳ τὴν τοιάνδε ἐπιφορὰν τοῦ λόγου. διαφορᾶς γοῦν τῷ Τιμοκράτει πρὸς τὸν Σκοπελιανὸν γενομένης ὡς ἐκδεδωκότα ἑαυτὸν πίττῃ καὶ παρατιλτρίαις διέστη μὲν ἡ ἐνομιλοῦσα νεότης τῇ Σμύρνῃ, ὁ δὲ V 536 VI

1. δὲ, τὰ μὲν. β. δὲ τὰ μὲν. E. Fo: τὸ μέν. ib. ἐς τὴν πόλιν. R. ἐς τὴν Ῥώμην. ς. 2. περιβαλὼν. r, f, k. περιβάλλων. 2, 3, E. παραλαβὼν. R. περιλαβὼν. pe. ib. ἐκβάλῃ. 1, ve, μ. ἐκβάλοι. v, ox, h. ἐκβάλλῃ. π, g, E. 3. Σ. v. ἐφιέναι· ὑποκριτοῦ τραγῳδίας ἐφιέναι φήσαντος, ἐξελαθῆναι γὰρ παρὰ Πολέμωνος κατ' ἀρχὰς τοῦ δράματος, ὁ δὲ Ἀντωνῖνος ἤρετο, πηνίκα εἴη — τυγχάνοι (τυγχάνει. v, e). οὖσα — ἐφῆκα. ἐχέτω ταῦτα δήλωσιν βασιλέως πράου καὶ ἀνδρὸς ὑπέρφρονος. ib. ἠπιστατο. μ, v. ἐπίστατο. ox. ἐπιστάτη. h, e. ἐπεστάτη. p, m. ib. ἀφιέναι. f. 5. τῆς om. o. ib. ἀπηλάθη. R. ib. οὖσα τυγχάνοι. R. τυγχάνει οὖσα. h, m, o. 6. ἐξήλασε τῆς οἰκίας. r et ρ, p in mg, k. Omissa in ς, pe. ἐξήλασε (om. τῆς οἰκίας.) ve.

7. μοι καὶ om. Σ. ib. βασιλέως. R. r, β, Σ. ὡς βασιλέως. ς. ib. γὰρ δὴ οὕτω τι. R. δή τι οὕτως. r, f, k, o. δή τι οὗτος. β. γὰρ δὴ οὕτως. μ, v, m. δὴ οὗτως. ox. δὲ οὗτος. h. γὰρ δὴ οὗτος. 3, e. 8. τοῦ μὴ. R. ib. μὴ om. R. 10. ἐγκώμιον. k, o. ib. τοῦ om. p. 11. ἃ τις ὑπὲρ Ἀθηναίων εἶποι. C, E. Fo: ἃ τις ὑπὲρ Ἀθηνῶν ἂν εἶποι. ib. καίτοι καὶ om. R. ib. τῆς om. k et p a pr. m. 13. μᾶλλον χρὴ. μ. ib. ἡμᾶς. β. ib. σοφιστὰς εἶναι. R 15. κατὰ ἱστορίαν. r. 16. ξυνεῖναι θαμὰ. 2. ib. ἀνεβαλέτο. r, v, π, g. ἀνεβαλλέτο. ς. ib. τὸν ἐπὶ βασιλέα. R. ib. ἐπὶ θύρας. r. ἐπὶ θύραις. ς. 17. νοσῶν δὲ. μ, v. ὁσῶν δὲ. ox. ὅσον. h. 18. κατέδραθε. f. ib. αὐτῷ om. R. ib. προσειπόντος. C, E. προειπόντος. J. 19. βέλτιστ' εἶπεν. v.

20. μεγαλόγνωμον τοῦτο. R, r, ve. μεγαλόγνωμον τὸ δὲ. f, β. μεγαλόγνωμον τόδε ἐφρονηματῶδες. k. μεγαλόφρον καὶ. μ, v. μεγαλόγνωμον καὶ. ox, h, 3, E. ib. ἔσπασε μόνου. R. 21. Τιμοκράτη. R, r. 23. γὰρ κατ' ἀρχὰς. g. 24. δὲ om. R. ib. Σ. v. ἱστίον. πλήρεσιν ἱστίοις ἐς τὴν αὐτοῦ σοφίαν καθῆκεν. idem v. πλῆντο. πλ. ἱστ. ἐς τὴν αὐτοῦ φιλοσοφίαν ἀφῆκεν. ib. σοφίαν ἐχώρει. R. 25. οὕτω τοι. μ, v, p. ib. ἦν om. β. 26. τὴν γενειάδα. f, k. τὴν δὲ. e et m in mg. ib. τρίχας. π, g. 27. εἶχεν εὐφόρως. β. ἐφόρως εἶχε. f. εὐφρόνως εἶχε. π, g. 28. γ' οὖν. r. 29. διέστηκε. g.

I, 25, §. 1, 5, 6. p. 535. 536. = 45. 46. 47.

Πολέμων ἀμφοῖν ἀκροώμενος τῶν τοῦ Τιμοκράτους στασιωτῶν ἐγένετο πατέρα καλῶν αὐτὸν τῆς ἑαυτοῦ γλώττης. ἀπολογούμενος δὲ αὐτῷ καὶ ὑπὲρ τῶν πρὸς Φαβωρῖνον λόγων εὐλαβῶς ὑπέστειλε καὶ ὑφειμένως, ὥσπερ τῶν παίδων οἱ τὰς ἐκ τῶν διδασκάλων πληγάς, εἴ τι ἀτακτήσειαν, δεδιότες.

Τῷ δὲ ὑφειμένῳ τούτῳ καὶ πρὸς τὸν Σκοπελιανὸν ἐχρήσατο χρόνῳ ὕστερον, πρεσβεύειν μὲν χειροτονηθεὶς ὑπὲρ τῶν Σμυρναίων, ὡς ὅπλα δὲ Ἀχίλλεια τὴν ἐκείνου πειθὼ αἰτήσας. Ἡρώδῃ δὲ τῷ Ἀθηναίῳ πῃ μὲν ἀπὸ τοῦ ὑφειμένου, πῃ δὲ ἀπὸ τοῦ ὑπεραίροντος ξυνεγένετο. ὅπως δὲ καὶ ταῦτα ἔσχε, δηλῶσαι βούλομαι, καλὰ γὰρ καὶ μεμνῆσθαι ἄξια· ἦρα μὲν γὰρ τοῦ αὐτοσχεδιάζειν ὁ Ἡρώδης μᾶλλον ἢ τοῦ ὕπατός τε καὶ ἐξ ὑπάτων δοκεῖν, τὸν Πολέμωνα δὲ οὕπω γιγνώσκων
537 ἀφῖκτο μὲν ἐς τὴν Σμύρναν ἐπὶ ξυνουσίᾳ τοῦ ἀνδρὸς κατὰ χρόνους, οὓς τὰς ἐλευθέρας τῶν πόλεων αὐτὸς διωρθοῦτο, περιβαλὼν δὲ καὶ ὑπερασπασάμενος ὁμοῦ τῷ τὸ στόμα ἀφελεῖν τοῦ στόματος „πότε," εἶπεν „ὦ πάτερ, ἀκροασόμεθά σου;" καὶ ὁ μὲν δὴ ᾤετο ἀναβαλεῖσθαι αὐτὸν τὴν ἀκρόασιν ὀκνεῖν φήσαντα ἐπ' ἀνδρὸς τοιούτου ἀποκινδυνεύειν, ὁ δὲ οὐδὲν πλασάμενος „τήμερον" ἔφη „ἀκροῶ, καὶ ἴωμεν." τοῦτο ἀκούσας ὁ Ἡρώδης ἐκπλαγῆναι ἔφησε τὸν ἄνδρα, ὡς καὶ τὴν γλῶτταν αὐτοσχέδιον καὶ τὴν γνώμην. ταῦτα μὲν οὖν φρόνημα ἐνδείκνυται τοῦ ἀνδρὸς καί, νὴ Δία, σοφίαν, ἧ ἐς τὴν ἔκπληξιν ἐχρήσατο, ἐκεῖνα δὲ σωφροσύνην τε καὶ κόσμον· ἀφικόμενον
VII γὰρ ἐς τὴν ἐπίδειξιν ἐδέξατο ἐπαίνῳ μακρῷ καὶ ἐπαξίῳ τῶν Ἡρώδου λόγων τε καὶ ἔργων. τὴν δὲ σκηνὴν τοῦ ἀνδρός, ἧ ἐς τὰς μελέτας ἐχρήσατο, ἐστὶ μὲν καὶ Ἡρώδου μαθεῖν ἐν μιᾷ τῶν πρὸς τὸν Βᾶρον ἐπιστολῇ εἰρημένων, δηλώσω δὲ κἀγὼ ἐκεῖθεν· παρῆει μὲν ἐς τὰς ἐπιδείξεις διακεχυμένῳ τῷ προσώπῳ καὶ τεθαρρηκότι, φοράδην δὲ ἐσεφοίτα, διεφθορότων αὐτῷ ἤδη τῶν ἄρθρων. καὶ τὰς ὑποθέσεις οὐκ ἐς τὸ κοινὸν ἐπεσκοπεῖτο, ἀλλ' ἐξιὼν τοῦ ὁμίλου βραχὺν καιρόν. φθέγμα δὲ ἦν αὐτῷ λαμπρὸν καὶ ἐπίτονον καὶ κρότος θαυμάσιος οἷος ἀπεκτύπει τῆς γλώττης. φησὶ δὲ αὐτὸν ὁ Ἡρώδης καὶ ἀναπηδᾶν τοῦ θρόνου περὶ τὰς ἀκμὰς τῶν ὑποθέσεων, τοσοῦτον αὐτῷ περιεῖναι ὁρμῆς, καὶ ὅτε ἀποτορνεύοι περίοδον, τὸ ἐπὶ πᾶσιν αὐτῆς κῶλον σὺν μειδιάματι φέρειν, ἐνδεικνύμενον πολὺ τὸ ἀλύπως φράζειν, καὶ κροαίνειν ἐν τοῖς τῶν ὑποθέσεων χωρίοις οὐδὲν μεῖον τοῦ
538 Ὁμηρικοῦ ἵππου. ἀκροᾶσθαι δὲ αὐτοῦ τὴν μὲν πρώτην, ὡς οἱ δικάζοντες, τὴν δὲ ἐφεξῆς, ὡς οἱ ἐρῶντες, τὴν δὲ τρίτην, ὡς οἱ θαυμάζοντες, καὶ γὰρ δὴ καὶ τριῶν ἡμερῶν ξυγγενέσθαι οἱ. ἀναγράφει καὶ τὰς ὑποθέσεις ὁ Ἡρώδης, ἐφ' αἷς ξυνεγένετο· ἦν τοίνυν ἡ μὲν πρώτη Δημοσθένης ἐξομνύμενος ταλάντων πεντήκοντα δωροδοκίαν, ἣν ἦγεν ἐπ' αὐτὸν Δημάδης, ὡς Ἀλεξάνδρου τοῦτο
30 Ἀθηναίοις ἐκ τῶν Δαρείου λογισμῶν ἐπεσταλκότος, ἡ δὲ ἐφεξῆς τὰ τρόπαια κατέλυε τὰ Ἑλληνικὰ τοῦ Πελοποννησίου πολέμου ἐς διαλλαγὰς ἥκοντος, ἡ δὲ τρίτη τῶν ὑποθέσεων τοὺς Ἀθηναίους

1. στασιωτῶν. 1 et p ex corr. στασιαστῶν. 2, 3, E. 2. αὐτοῦ μ. ib. πρὸς τὸν. g. ib. Φαβουρῖνον. R, r. ib. ἐπέστειλε p ex corr.

5. τὸν om. π, g. ib. πρεσβεύειν μὲν χειροτονηθεὶς. r. χειροτονηθεὶς μὲν πρεσβεύειν. ς. 6. ὑπὸ. f. ib. ὅπλα Ἀχίλλεια δὲ. h. 8. ταῦτα ἔχει. h. δηλῶσαι βουλόμενος. π, g. ib. ἄξιον. f, k. 9. ὁ Ἡρώδης μᾶλλον. r, β. μᾶλλον ὁ Ἡρώδης. ς. 10. ἐπὶ ξυνουσία. 1 et p ex corr. ἐς τὴν ἐξουσίαν. 2, 3, E. 11. διορθοῦτο. R, r, g. ib. ὁμοῦ τῷ στόμα. β. ὁμοῦ τὸ στόμα. R, r, f, k. ὁμοῦ τῷ τὸ στόμα. 2, φ, E. ὁμοῦ τε τὸ στ. π, g. 12. ὦ πάτερ om. β. ib. καὶ om. r. 13. οὐδὲ. R. 14. ἔφησε. C, E. Fo: φησι. ib. ὡς τὴν. e, m. 16. ἐκεῖνά τε. R. ib. σωφροσύνης. β. 18. ᾗ om. R. ib. ἔστι. h, e, m. ib. μάρμαρ. r. 19. Βάρβαρον. ς. Βάρον. V. Meurs. ib. ἐπιστολῇ. p. ἐπιστολῶν. ς. 20. ἐπεφοίτα. 2. 21. ἐπεσκοπεῖτο. r et p ex corr. ἐσκοπεῖτο. ς. 22. λεπτὸν καὶ ἐπίπονον. 2, φ, π, g, e, m. λεπτὸν καὶ ἐπίτονον. p. 23. καὶ ἀναπηδᾶν. R, r, ve. ἀναπηδᾶν. ς. ib. περὶ. 1. παρὰ. 2, 3, E. 24. ἀποτορνεύοι τὸ. r. ἀποτορνέοιτο. f. ἀποτορνεύοιτο. ς. Scr. ἀποτορνεύοι. ib. αὐτῆς. R, r, f, ve. αὐτοῖς. k. αὐτῷ. h. αὐτῇ. β, μ, v, ox, 3, E. ib. συμμειδιάματι. R. ib. ἐνδεικνύμενον — φράζειν om. β. ἐνδεικνύμενος. f. 26. Ὁμηρικοῦ. 1 et p ex corr. ἡρωικοῦ. 2, 3, E. ib. τὴν δ'. E. 27. τὴν δὲ — θαυμάζοντες om. C et e, habet o ex suppl. Salmasii. ib. ὡς θαυμάζοντες. o. ὡς οἱ θαυμάζοντες. J. 28. ὁ Ἡρώδης. R, r, p. Ἡρώδης. ς. 30. ἐπεσταλέντων. ox. ἐπισταλλέντων. l. ἐπεσταλκότες. n. ἐπεσταλκότα. g. ib. ἡ δὲ — ἥκοντος om. 2, 3, e, m. ib. τὰ τρόπαια. p. sec. m. ἐς τὰ τρόπαια. R, r, ρ, k, β, o. ἐς τὼ τρόπαια. f. ib. κατέλυε p. sec. m. καταλύειν. 1, o. 31. διαλαγὰς. r. ib. τρήτη. r.

1, 25, §. 7. p. 537. 538. = 47. 48.

μετὰ Αἰγὸς ποταμοὺς ἐς τοὺς δήμους ἀνεσκεύαξεν· ὑπὲρ οὗ φησιν ὁ Ἡρώδης πέμψαι οἱ πεντεκαίδεκα μυριάδας προσειπὼν αὐτὰς μισθὸν τῆς ἀκροάσεως, μὴ προσεμένου δὲ αὐτὸς μὲν ὑπερῳφθαι οἴεσθαι, ξυμπίνοντα δὲ αὐτῷ Μουνάτιον τὸν κριτικόν, ὁ δὲ ἀνὴρ οὗτος ἐκ Τραλλέων, „ὦ Ἡρώδη," φάναι „δοκεῖ μοι Πολέμων ὀνειροπολήσας πέντε καὶ εἴκοσι μυριάδας παρὰ τοῦτ' ἔλαττον ἔχειν ἡγεῖσθαι, παρ' ὃ μὴ τοσαύτας ἔπεμψας." προσθεῖναί φησιν ὁ Ἡρώδης τὰς δέκα καὶ τὸν Πολέμωνα προθύμως λαβεῖν, ὥσπερ ἀπολαμβάνοντα. ἔδωκε τῷ Πολέμωνι ὁ Ἡρώδης καὶ τὸ μὴ παρελθεῖν ἐπ' αὐτῷ ἐς λόγων ἐπίδειξιν, μηδ' ἐπαγωνίσασθαί οἱ, νύκτωρ δὲ ἐξελάσαι τῆς Σμύρνης, 539 ὡς μὴ βιασθείη, θρασὺ γὰρ καὶ τὸ βιασθῆναι ᾤετο. διετέλει δὲ καὶ τὸν ἄλλον χρόνον ἐπαινῶν τὸν Πολέμωνα καὶ ὑπὲρ θαῦμα ἄγων· Ἀθήνησι μὲν γὰρ διαπρεπῶς ἀγωνισάμενος τὸν περὶ τῶν τροπαίων ἀγῶνα καὶ θαυμαζόμενος ἐπὶ τῇ φορᾷ τοῦ λόγου „τὴν Πολέμωνος" ἔφη „μελέτην ἀνάγνωτε καὶ εἴσεσθε ἄνδρα." Ὀλυμπίασι δὲ βοησάσης ἐπ' αὐτῷ τῆς Ἑλλάδος „εἷς, ὡς Δημοσθένης," „εἴθε γάρ," ἔφη „ὡς ὁ Φρύξ," τὸν Πολέμωνα ὧδε ἐπονομάζων, ἐπειδὴ τότε ἡ Λαοδίκεια τῇ Φρυγίᾳ συνετάττετο. Μάρκου δὲ τοῦ αὐτοκράτορος πρὸς αὐτὸν εἰπόντος „τί σοι δοκεῖ ὁ Πολέμων; στήσας τοὺς ὀφθαλμοὺς ὁ Ἡρώδης

„ἵππων μ'"

ἔφη

„ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει,"

ἐνδεικνύμενος δὴ τὸ ἐπίκροτον καὶ τὸ ὑψηχὲς τῶν λόγων. ἐρομένου δὲ αὐτὸν καὶ Βάρου τοῦ ὑπάτου, τίσι καὶ διδασκάλοις ἐχρήσατο, „τῷ δεῖνι μὲν καὶ τῷ δεῖνι" ἔφη „παιδευόμενος, Πολέμωνι δὲ ἤδη παιδεύων."

Φησὶν ὁ Πολέμων ἠκροᾶσθαι καὶ Δίωνος ἀποδημίαν ὑπὲρ τούτου στείλας ἐς τὸ τῶν Βιθυνῶν VIII ἔθνος. ἔλεγε δὲ ὁ Πολέμων τὰ μὲν τῶν καταλογάδην ὥμοις δεῖν ἐκφέρειν, τὰ δὲ τῶν ποιητῶν ἁμάξαις.

Κἀκεῖνα τῶν Πολέμωνι τιμὴν ἐχόντων· ἤριζεν ἡ Σμύρνα ὑπὲρ τῶν ναῶν καὶ τῶν ἐπ' αὐτοῖς δικαίων, ξύνδικον πεποιημένη τὸν Πολέμωνα ἐς τέρμα ἤδη τοῦ βίου ἥκοντα. ἐπεὶ δὲ ἐν ὁρμῇ τῆς ὑπὲρ τῶν δικαίων ἀποδημίας ἐτελεύτησεν, ἐγένετο μὲν ἐπ' ἄλλοις ξυνδίκοις ἡ πόλις, πονηρῶς δὲ αὐτῶν ἐν τῷ βασιλείῳ δικαστηρίῳ διατιθεμένων τὸν λόγον βλέψας ὁ αὐτοκράτωρ ἐς τοὺς τῶν 540 Σμυρναίων ξυνηγόρους „οὐ Πολέμων" εἶπεν „τουτουὶ τοῦ ἀγῶνος ξύνδικος ὑμῖν ἀπεδέδεικτο;" „ναί," ἔφασαν „εἴ γε τὸν σοφιστὴν λέγεις." καὶ ὁ αὐτοκράτωρ „ἴσως οὖν" ἔφη „καὶ λόγον τινὰ ξυνέγραψεν ὑπὲρ τῶν δικαίων, οἷα δὴ ἐπ' ἐμοῦ τε ἀγωνιούμενος καὶ ὑπὲρ τηλικούτων." „ἴσως," ἔφασαν, ὦ βασιλεῦ, „οὐ μὴν ἡμῖν γε εἰδέναι." καὶ ἔδωκεν ἀναβολὰς ὁ αὐτοκράτωρ τῇ δίκῃ, ἕστ' ἂν διακομισθῇ ὁ λόγος, ἀναγνωσθέντος δὲ ἐν τῷ δικαστηρίῳ κατ' αὐτὸν ἐψηφίσατο ὁ βασιλεύς, καὶ ἀπῆλθεν ἡ Σμύρνα τὰ πρωτεῖα νικῶσα καὶ τὸν Πολέμωνα αὐτοῖς ἀναβεβιωκέναι φάσκοντες.

1. Αἰγὸς ποταμοὺς. 1, p, n. Αἰγὸς ποταμὸν. π. τὰ ἐν Αἰγὸς ποταμοῖς. 2, m, o. ἐν Αἰγὸς ποταμοῖς. e. ib. πεντεκαίδεκα. 1. δεκαπέντε. 2, 3, E. 2. αὐτὰς. 1. αὐτὰ. 2, 3, E. ib. προσεμένου. 1. προσιεμένου. 2, 3, E. 3. ξυμπίπτοντα. π, g. ib. κριτικόν. r, f, k, β, 3, o. κρητικὸν. R, 2, e, m. Creticum. Bonf. ib. ὦ Ἡρώδη. 1. ὦ Ἡρώδης. β, 2, π, m, o. τῷ Ἡρώδης. g. ᾧ Ἡρώδης. e. 4. ὀνειροπολήσας. r. ib. περὶ τοῦτο. β. 6. ἔδωκε δὲ. k, o et p a sec. m. 8. δὲ τὸν. R. 9. τῶν om. R. 11. εἴσεσθαι. β. ib. Ἑλλάδος. 1 et p sec. m. o. Ἑλλαδικῆς. 2, 3, e, m. ib. εἷς καὶ. R. ἧς ὡς. β. εἷς ὡς. e. 12. εἴθε γὰρ. pe. ἤδη γὰρ. C, E. ib. ἐπωνομάζων. r. ἐπονομάσαι. R. ἐπονάζων. μ. 13. αὐτοῦ αὐτοκράτορος. e, m. 16. ἔφη om. R. 17. ὠκυπόρων. 3 (in p correctum). 18. τὸ om. f, k. ib. Βαρβάρου. C, E. Scr. Βάρου. 19. τίσι καὶ. R, r, f. τίσι. ς. ib. τοῦ δεῖνος καὶ τοῦ δεῖνος. R

21. Ζήνωνος. R. ἀποδημίαν. R, r, f, β. καὶ ἀποδημίαν. 2, 3, E. ib. τὸ τῶν. R, r, β. τὸ. ς. 22. τὰ δὲ ποιητῶν. f, k.

24. κακείνων. R. ib. ἐχόντων. r. νεμόντων. ς. ib. ἐν αὐτοῖς. R. 27. δικαστηρίων. β. 28. εἶπεν. r. εἶπε. E. ib. ἀπεδέδεικτο. r. ἀποδέδεικτο. ς. ib. ἡμῖν. β. 30. ἀγωνιζόμενος. R, π. 32. διακοσμηθῇ. r. ib. ὁ βασιλεὺς. ox. βασιλεὺς. ς. 33. ἀναβεβιωκέναι. 1 et p ex corr. o. ἀναβεβιωκότα. 2, 3, e, m.

1, 25. §. 8. p. 539. 540. = 48. 49. 50.

IX Ἐπεὶ δὲ ἀνδρῶν ἐλλογίμων ἀξιομνημόνευτα οὐ μόνον τὰ μετὰ σπουδῆς λεχθέντα, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς, ἀναγράψω καὶ τοὺς ἀστεισμοὺς τοῦ Πολέμωνος, ὡς μηδὲ οὗτοι παραλελειμμένοι φαίνοιντο. μειράκιον Ἰωνικὸν ἐτρύφα κατὰ τὴν Σμύρναν ὑπὲρ τὰ Ἰώνων ἤθη, καὶ ἀπώλλυ αὐτὸ πλοῦτος βαθύς, ὅσπερ ἐστὶ πονηρὸς διδάσκαλος τῶν ἀκολάστων φύσεων. ὄνομα μὲν δὴ τῷ μειρακίῳ Οὔαρος, διεφθορὸς δὲ ὑπὸ κολάκων ἐπεπείκει αὐτὸ ἑαυτό, ὡς καλῶν τε εἴη ὁ κάλλιστος καὶ μέγας ὑπὲρ τοὺς εὐμήκεις καὶ τῶν ἀμφὶ παλαίστραν γενναιότατός τε καὶ τεχνικώτατος καὶ μηδ' ἂν τὰς Μούσας ἀναβάλλεσθαι αὐτοῦ ἧδιον, ὁπότε πρὸς τὸ ᾄδειν τράποιτο. παραπλήσια δὲ τούτοις καὶ περὶ τῶν σοφιστῶν ᾤετο, παριππεῦσαι γὰρ καὶ τὰς ἐκείνων γλώττας, ὁπότε μελετῴη, καὶ γὰρ δὴ καὶ ἐμελέτα, καὶ οἱ δανειζόμενοι παρ' αὐτοῦ χρήματα τὸ καὶ μελετῶντος ἀκροάσασθαι προσέγραφον τῷ τόκῳ. ὑπήγετο δὲ καὶ ὁ Πολέμων τῷ δασμῷ τούτῳ νέος ὢν ἔτι
541 καὶ οὔπω νοσῶν, δεδάνειστο γὰρ παρ' αὐτοῦ χρήματα, καὶ ἐπεὶ μὴ ἐθεράπευε, μηδὲ ἐς τὰς ἀκροάσεις ἐφοίτα, χαλεπὸν ἦν τὸ μειράκιον καὶ ἠπείλει τύπους. οἱ δὲ τύποι γράμμα εἰσὶν ἀγορᾶς, ἐρήμην ἐπαγγέλλον τῷ οὐκ ἀποδιδόντι. αἰτιωμένων οὖν τὸν Πολέμωνα τῶν οἰκείων, ὡς ἀηδῆ καὶ δύστροπον, εἰ παρὸν αὐτῷ μὴ ἀπαιτεῖσθαι καὶ τὸ μειράκιον ἐκκαρποῦσθαι παρέχοντα αὐτῷ νεῦμα εὔνουν μὴ ποιεῖ τοῦτο, ἀλλ' ἐκκαλεῖται αὐτὸ καὶ παροξύνει, τοιαῦτα ἀκούων ἀπήντησε μὲν ἐπὶ τὴν ἀκρόασιν, ἐπεὶ δὲ ἐς δείλην ἤδη ὀψίαν τὰ τῆς μελέτης αὐτῷ προὔβαινε καὶ οὐδεὶς ὅρμος ἐφαίνετο τοῦ λόγου σολοικισμῶν τε καὶ βαρβαρισμῶν καὶ ἐναντιώσεων πλέα ἦν πάντα, ἀναπηδήσας ὁ Πολέμων καὶ ὑποσχὼν τῷ χεῖρε „Οὔαρε", εἶπεν „φέρε τοὺς τύπους." λῃστὴν δὲ πολλαῖς αἰτίαις ἑαλωκότα στρεβλοῦντος ἀνθυπάτου καὶ ἀπορεῖν φάσκοντος, τίς γένοιτ' ἂν ἐπ' αὐτῷ τιμωρία τῶν εἰργασμένων ἀξία, παρατυχὼν ὁ Πολέμων „κέλευσον" ἔφη „αὐτὸν ἀρχαῖα ἐκμανθάνειν." καίτοι γὰρ πλεῖστα ἐκμαθὼν ὁ σοφιστὴς οὗτος ὅμως ἐπιπονώτατον ἡγεῖτο τῶν ἐν ἀσκήσει τὸ ἐκμανθάνειν. ἰδὼν δὲ μονόμαχον ἱδρῶτι ῥεόμενον καὶ δεδιότα τὸν ὑπὲρ τῆς ψυχῆς ἀγῶνα „οὕτως" εἶπεν „ἀγωνιᾷς, ὡς μελετᾶν μέλλων." σοφιστῇ δὲ ἐντυχὼν ἀλλᾶντας ὠνουμένῳ καὶ μαινίδας καὶ τὰ εὐτελῆ ὄψα „ὦ λῷστε," εἶπεν „οὐκ ἔστι τὸ Δαρείου καὶ Ξέρξου φρόνημα καλῶς ὑποκρίνασθαι ταῦτα σιτουμένῳ." Τιμοκράτους δὲ τοῦ φιλοσόφου πρὸς αὐτὸν εἰπόντος, ὡς λάλον χρῆμα ὁ Φαβωρῖνος γένοιτο, ἀστειότατα ὁ Πολέμων „καὶ πᾶσα" ἔφη „γραῦς" τὸ εὐνουχῶδες αὐτοῦ διασκώπτων. ἀγωνιστοῦ δὲ τραγῳδίας ἐν τοῖς κατὰ τὴν Σμύρναν Ὀλυμπίοις τὸ „ὦ Ζεῦ" ἐς τὴν γῆν δείξαντος, τὸ
542 δὲ „καὶ γᾶ" ἐς τὸν οὐρανὸν ἀνασχόντος, προκαθήμενος τῶν Ὀλυμπίων ὁ Πολέμων ἐξέωσεν αὐτὸν τῶν ἄθλων εἰπὼν „οὗτος τῇ χειρὶ ἐσολοίκισεν." μὴ πλείω ὑπὲρ τούτων, ἀπόχρη γάρ καὶ ταῦτα τὸ ἐπίχαρι τοῦ ἀνδρὸς δηλῶσαι.

X Ἡ δὲ ἰδέα τῶν Πολέμωνος λόγων θερμὴ καὶ ἐναγώνιος καὶ τορὸν ἠχοῦσα, ὥσπερ ἡ Ὀλυμπιακὴ σάλπιγξ, ἐπιπρέπει δὲ αὐτῇ καὶ τὸ Δημοσθενικὸν τῆς γνώμης, καὶ ἡ σεμνολογία οὐχ ὑπτία, λαμπρὰ δὲ καὶ ἔμπνους, ὥσπερ ἐκ τρίποδος. διαμαρτάνουσι μὲν τοῦ ἀνδρὸς φάσκοντες αὐτὸν τὰς μὲν ἐπιφορὰς ἄριστα σοφιστῶν μεταχειρίσασθαι, τὰς δὲ ἀπολογίας ἧττον. ἐλέγχει γὰρ τὸν λόγον

3. ἀπόλυ. R. ἀπόλλυ r. 4. αὐτῷ. π, m. ib. βαρὺς. 2. ib. πονηρὸς διδάσκαλος. 1. διδάσκαλος πονηρός. 2, 3, E. 7. πρὸς τὸ om. β, 2, 3, e, m; in p est a sec. m. 10. ἀκροᾶσθαι. R. ib. τῷ ὄγκῳ. p in mg. ib. δὲ καὶ. β. καὶ. ς. 11. δεδάνιστο. r. ib. ἦν αὐτῷ. pe. 12. ἠπείλει τὸ μειράκιον τύπους. π. τούτους. g. ὑπείλει. e. ib. χρήματα. R. ib. ἀγορᾶς om. pe. ἀγορᾶς ἐρήμην, interp. nota ante posita. E. 13. τῶν οἰκείων om. β, 2, 3, E. in p est a sec. m. ib. ἀναιδῆ. 2, 3, e, m. 14. αὐτὸ. R, r, μ, p, π. αὐτῷ. k. αὐτὸν. ς. 15. καὶ παροξύνει om. μ. 18. ἐπισχὼν. π. ib. εἶπεν. r. Οὔαρ' εἶπε. v. ἔφη. h. ib. πολλ' αἰτίαις. v. 19. ἐπ' om. f, ve. 20. ἀξία om. π. ib. ἀρχαῖα αὐτὸν. R. ib. καίτοι πλεῖστα γὰρ. R. 21. τῶν ἀσκητῶν. R. τῶν ἐν ἀσκήσει om. μ, ve. 22. ὑπὲρ τῆς ψυχῆς. r. ὑπὲρ ψυχῆς. ς. ib. ψυχῆς θάνατον. R. 23. ἀλάντας. μ, h, p, π. ib. μενίδας. r. ib. καὶ εὐτελῆ. v, pe. 25. Φαβουρῖνος. r. Φαβορῖνος. R. 26. διακόπτων. R, β, h. 27. τὴν om. h. ib. Σμύρναν τραγωδίας Ὀλυμπίοις. R. 28. καὶ γᾶ. 1. ὦ γᾶ. 2, 3, E. 29. ἐσολύκισεν. r. ἐσολοίκισεν. f. ἐσολοίκισε. E. ib. ἀπέχρη. e, m.
31. τυρὸν ἔχουσα. v, e. ib. Ὀλυμπιακὴ. r, f, k, β. Ὀλυμπικὴ. ς. 32. ἐπιπρέποι. R. ἐπιτρέπει. β. ib. αὐτὴ. h. 33. μὲν τοῦ. C, E. Fo: μέντοι τοῦ. 34. σοφιστῶν r et p ex corr. σοφῶν. ς. ib. ἐλέγχει δὲ. h.

1, 25, §. 8. p. 541. 542. = 50. 51. 52.

τοῦτον ὡς οὐκ ἀληθῆ καὶ ἡ δεῖνα μὲν καὶ ἡ δεῖνα τῶν ὑποθέσεων, ἐν αἷς ἀπολογεῖται, μάλιστα δὲ ὁ Δημοσθένης ὁ τὰ πεντήκοντα τάλαντα ἐξημνύμενος. ἀπολογίαν γὰρ οὕτω χαλεπὴν διαθέμενος ἤρκεσε τῷ λόγῳ ξὺν περιβολῇ καὶ τέχνῃ. τὴν αὐτὴν ὁρῶ διαμαρτίαν καὶ περὶ τοὺς ἡγουμένους αὐτὸν ἐκφέρεσθαι τῶν ἐσχηματισμένων ὑποθέσεων εἰργόμενον τοῦ δρόμου, καθάπερ ἐν δυσχωρίᾳ ἵππον, παραιτούμενόν τε αὐτάς, τὰς Ὁμηρείους γνώμας εἰπεῖν

„ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ."

ταῦτα γὰρ ἴσως ἔλεγεν αἰνιττόμενος καὶ παραδηλῶν τὸ δύστροπον τῶν τοιούτων ὑποθέσεων, ἄριστα δὲ κἀκεῖνα ἠγωνίσατο, ὡς δηλοῦσιν ὅ τε μοιχὸς ὁ ἐγκεκαλυμμένος καὶ ὁ Ξενοφῶν ὁ ἀξιῶν ἀποθνήσκειν ἐπὶ Σωκράτει καὶ ὁ Σόλων ὁ αἰτῶν ἀπαλείφειν τοὺς νόμους λαβόντος τὴν φρουρὰν τοῦ Πεισιστράτου καὶ οἱ Δημοσθένεις ὁ μετὰ Χαιρώνειαν προσάγων ἑαυτὸν καὶ ὁ δοκῶν θανάτου ἑαυτῷ τιμᾶσθαι ἐπὶ τοῖς Ἀρπαλείοις καὶ ὁ ξυμβουλεύων ἐπὶ τῶν τριηρῶν φεύγειν ἐπιόντος μὲν 543
Φιλίππου, νόμον δὲ Αἰσχίνου κεκυρωκότος ἀποθνήσκειν τὸν πολέμου μνημονεύσαντα. ἐν γὰρ ταύταις μάλιστα τῶν ὑπ' αὐτοῦ κατὰ σχῆμα προηγμένων ἡνία τε ἐμβέβληται τῷ λόγῳ καὶ τὸ ἐπαμφότερον αἱ διάνοιαι σώζουσιν.

Ἰατροῖς δὲ θαμὰ ὑποκείμενος λιθιώντων αὐτῷ τῶν ἄρθρων παρεκελεύετο αὐτοῖς ὀρύττειν καὶ XI
τέμνειν τὰς Πολέμωνος λιθοτομίας. Ἡρώδῃ δὲ ἐπιστέλλων ὑπὲρ τῆς νόσου ταύτης ὧδε ἐπέστειλεν· „δεῖ ἐσθίειν, χεῖρας οὐκ ἔχω· δεῖ βαδίζειν, πόδες οὐκ εἰσί μοι· δεῖ ἀλγεῖν, τότε καὶ πόδες εἰσί μοι καὶ χεῖρες."

Ἐτελεύτα μὲν περὶ τὰ ἓξ καὶ πεντήκοντα ἔτη, τὸ δὲ μέτρον τῆς ἡλικίας τοῦτο ταῖς μὲν ἄλλαις ἐπιστήμαις γήρως ἀρχή, σοφιστῇ δὲ νεότης ἔτι, γηράσκουσα γὰρ ἥδε ἡ ἐπιστήμη σοφίαν ἀντύνει. τάφος δὲ αὐτῷ κατὰ τὴν Σμύρναν οὐδείς, εἰ καὶ πλείους λέγονται· οἱ μὲν γὰρ ἐν τῷ κήπῳ τοῦ τῆς Ἀρετῆς ἱεροῦ ταφῆναι αὐτόν, οἱ δὲ οὐ πόρρω τούτου ἐπὶ θαλάττῃ, νεὼς δέ τίς ἐστι βραχὺς καὶ ἄγαλμα ἐν αὐτῷ Πολέμωνος ἑσταλμένον, ὡς ἐπὶ τῆς τριήρους ὠργίαζεν, ὑφ' ᾧ κεῖσθαι τὸν ἄνδρα, οἱ δὲ ἐν τῇ τῆς οἰκίας αὐλῇ ὑπὸ τοῖς χαλκοῖς ἀνδριᾶσιν. ἔστι δὲ οὐδὲν τούτων ἀληθές, εἰ γὰρ ἐτελεύτα κατὰ τὴν Σμύρναν, οὐδενὸς ἂν τῶν θαυμασίων παρ' αὐτοῖς ἱερῶν ἀπηξιώθη τὸ μὴ οὐκ ἐν αὐτῷ κεῖσθαι. ἀλλ' ἐκεῖνα ἀληθέστερα, κεῖσθαι μὲν αὐτὸν ἐν τῇ Λαοδικείᾳ παρὰ τὰς Συρίας πύλας, οὗ δὴ καὶ τῶν προγόνων αὐτοῦ θῆκαι, ταφῆναι δὲ αὐτὸν ζῶντα ἔτι, τουτὶ γὰρ καὶ τοῖς φιλτάτοις ἐπισκῆψαι, κείμενόν τε ἐν τῷ σήματι παρακελεύεσθαι τοῖς συγκλείουσι τὸν 544
τάφον „ἔπαγε, ἔπαγε, μὴ γὰρ ἴδοι με σιωπῶντα ἥλιος." πρὸς δὲ τοὺς οἰκείους ὀλοφυρομένους αὐτὸν ἀνεβόησε· „δότε μοι σῶμα καὶ μελετήσομαι."

1. ἡ δεῖνα καὶ ἡ. R. καὶ ἡ δεῖνα μὲν om. β. 2. αὐτῷ χαλεπὴν. k. 4. δισχωρία. β. δυσχωρίῳ. R. 5. ἵππον. e, m. 7. κεύθῃ r, β. κεύθει ς. ib. δὲ βάζῃ. o. 9. κακείνους. h. ib. ἐγκεκαλυμμένος. C, E. ἐκκεκαλυμμένος. Heyse. ib. καὶ ὁ Ξενοφῶν. 1 et p ex corr. o. om 2, 3, e, m. ib. Ξενοφῶν ἀξιῶν. R. 11. οἱ Δημοσθένεις. v, ox, π. ὁ Δημοσθένεις. ὁ Δημοσθένης p. pr. m. οἱ Δημοσθένει. k. οἱ θεσμοθέται. R, r, f et k in mg. β. et p ex corr. οἱ θεσμοθέται. sic suprascr. corr. ρ. ὁ Δημοσθένης. μ, h, g, E. ib. εἷς ὁ. r, f, ρ, k, β. εἷς. R. οἷς ὁ. p ex corr ὁ. 2, 3, E. Fo: τρεῖς, ὁ. ib. Χερωνίαν γε. r. Χαιρώνειάν τε. 2, 3, E. ib. προάγων. β. 12. ἑαυτῷ. π, g. ἑαυτὸν. ς. ib. καὶ ὁ δοκῶν. R, r, f, k, et p ex corr. καὶ δοκῶν. β, 2, 3, E. ib. Ἁρπαλίοις. R, r, β. 13. νόμῳ. 2. ib. κεκυφοκότος. R. κεκυρωκώς. o. ib. τῶν πολέμου. r. 14. κατασχῆμα. r. ib. προσηγμένων. r. προηγουμένων. R, k. ib. τῶν λόγων. β. 17. Ἡρώδης δὲ. e. ib. ὑπὸ τῆς. R. ib. ἐπέστειλεν. r, f. 18. πόδες. β, 2, p. πόδε. 1, π, g. πόδ' ve. 20. παρὰ τὰ. r, f. πάντα. R. περὶ τὰ. β, k, 2, 3, E. 21. ἐπιστίμαις. r. ib. ἄρχει. k. 22. αὐτῷ. β. αὐτοῦ. ς. ib. πλείστους. R. 23. τοῦτον. g. 25. ἡ δὲ. π, g. 26. εἰ γὰρ. 1, 3. εἰ μὲν γὰρ. 2, E. ib. παρ' αὐτοῖς ἱερῶν. 1. ἱερῶν παρ' αὐτοῖς. 2, 3, E. (ἱερῶν. π, g.) ib. τῷ. R. οὐκ p in mg. 27. ἐκεῖνα. 1. ἐκεινά γε. 2, 3, E. ib. τῇ om 2. ib. περὶ τὰς. r. 28. Συρίας πόλεις. R. ib. προγόνων αὐτοῦ. 1, 3. προγόνων. 2, E. 29. καὶ τοῖς φιλτάτοις. f, k. τοῖς φιλτάτοις. ς. ib. σώματι. k, h. 30. ἔπαγε semel. h. ἄπαγε. π, g. ib. ὁ ἥλιος. 2. 31. μελετήσομαι. R. μεταβήσομαι. μ. μετεμβλήσομαι. V. apud Σ. μετεμβήσομαι. ς.

Μέχρι Πολέμωνος τὰ Πολέμωνος, οἱ γὰρ ἐπ' αὐτῷ γενόμενοι ξυγγενεῖς μέν, οὐ μὴν οἷοι πρὸς τὴν ἐκείνου ἀρετὴν ἐξετάζεσθαι, πλὴν ἑνὸς ἀνδρός, περὶ οὗ μικρὸν ὕστερον λέξω.

κς'. Μηδὲ Σεκούνδου τοῦ Ἀθηναίου ἀμνημονῶμεν, ὃν ἐκάλουν ἐπίουρόν τινες ὡς τέκτονος παῖδα. Σεκοῦνδος τοίνυν ὁ σοφιστὴς γνῶναι μὲν περιττός, ἑρμηνεῦσαι δὲ ἀπέριττος, Ἡρώδην δὲ ἐκπαιδεύσας ἐς διαφορὰν αὐτῷ ἀφίκετο παιδεύοντι ἤδη, ὅθεν ὁ Ἡρώδης διετώθαζεν αὐτὸν ἐκεῖνο ἐπιλέγων·

„καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ῥήτορι τέκτων,"

ἀλλ' ἀποθανόντι καὶ λόγον ἐπεφθέγξατο καὶ δάκρυα ἐπέδωκε καίτοι γηραιῷ τελευτήσαντι.

545 Μνήμης δὲ ἄξια τοῦ ἀνδρὸς τούτου καὶ πλείω μέν, μάλιστα δὲ ἥδε ἡ ὑπόθεσις· „ὁ ἄρξας στάσεως ἀποθνησκέτω καὶ ὁ παύσας στάσιν ἐχέτω δωρεάν· ὁ αὐτὸς καὶ ἄρξας καὶ παύσας αἰτεῖ τὴν δωρεάν." τήνδε τὴν ὑπόθεσιν ὧδε ἐβραχυλόγησεν· „οὐκοῦν" ἔφη „τί πρότερον; τὸ κινῆσαι στάσιν. τί δεύτερον; τὸ παῦσαι. δοὺς οὖν τὴν ἐφ' οἷς ἠδίκεις τιμωρίαν, τὴν ἐφ' οἷς εὖ πεποίηκας δωρεάν, εἰ δύνασαι, λάβε." τοιόσδε μὲν ὁ ἀνὴρ οὗτος, τέθαπται δὲ πρὸς τῇ Ἐλευσῖνι ἐν δεξιᾷ τῆς Μεγαράδε ὁδοῦ.

Β'.

α'. Περὶ δὲ Ἡρώδου τοῦ Ἀθηναίου τάδε χρὴ εἰδέναι· ὁ σοφιστὴς Ἡρώδης ἐτέλει μὲν ἐκ 546 πατέρων ἐς τοὺς δισυπάτους, ἀνέφερε δὲ ἐς τὸν τῶν Αἰακιδῶν, οὓς ξυμμάχους ποτὲ ἡ Ἑλλὰς ἐπὶ τὸν Πέρσην ἐποιεῖτο, ἀπηξίου δὲ οὐδὲ τὸν Μιλτιάδην, οὐδὲ τὸν Κίμωνα, ὡς ἄνδρε ἀρίστω καὶ πολλοῦ 547 ἀξίω Ἀθηναίοις τε καὶ τοῖς ἄλλοις Ἕλλησι περὶ τὰ Μηδικά, ὁ μὲν γὰρ ἦρξε τροπαίων Μηδικῶν, ὁ δὲ ἀπήτησε δίκας τοὺς βαρβάρους ὧν μετὰ ταῦτα ὕβρισαν.

Ἄριστα δὲ ἀνθρώπων πλούτῳ ἐχρήσατο. τουτὶ δὲ μὴ τῶν εὐμεταχειρίστων ἡγώμεθα, ἀλλὰ τῶν παγχαλέπων τε καὶ δυσκόλων, οἱ γὰρ πλούτῳ μεθύοντες ὕβριν τοῖς ἀνθρώποις ἐπαντλοῦσιν. προσδιαβάλλουσι δὲ ὡς καὶ τυφλὸν τὸν πλοῦτον, ὃς εἰ καὶ τὸν ἄλλον χρόνον ἐδόκει τυφλός, ἀλλ' ἐπὶ Ἡρώδου ἀνέβλεψεν, ἔβλεψε μὲν γὰρ ἐς φίλους, ἔβλεψε δὲ ἐς πόλεις, ἔβλεψε δὲ ἐς ἔθνη, πάντων περιωπὴν ἔχοντος τοῦ ἀνδρὸς καὶ θησαυρίζοντος τὸν πλοῦτον ἐν ταῖς τῶν μετεχόντων αὐτοῦ

1. μέχρι Πολέμωνος. 1, 2. μέχρι δὲ Πολέμωνος. 3, E. 2. μικρὸν ὕστερον λέξω. 1. ὕστερον λέξω μικρὸν. 2, 3, E. 3. μνημονῶμεν. β. ib. ἐπίουρον. o. ex Σ. ἐπωνομάζετο δὲ ἐπίουρος ὡς υἱὸς τέκτονος. ἐπίθυρον C, e, m. τινὲς ἐπίθυρον. 2. 5. ὁ Ἡρώδης. R, r, f, ve. Ἡρώδης. ς. 6. ἐπιλέγων. 1, ve. λέγων. 2, 3, pe, E. 7. τέκτονι τέκτων. π, g, e, m. ῥήτωρι τέκτων. r. 8. ἀπέδωκε. R, β.

9. μὲν om. R. ib. δὲ om. β. ib. ἥδε om. R. 10. ὁ αὐτὸς — δωρεὰν om. β. ib. αὐτὸς ἄρξας om. καὶ. f, k, v, h. 11. τήνδε τὴν. r. τὴν δὲ. ς. 12. διὰ οὖν. R. ib. τὴν om. οὖν. k. ib. τὴν om. E. ib. ἠδίκηκας. π, g. 13. πεποίηκεν. e et m. γρ. ib. λάμβανε χάριν. π, g. ib. οὗτος om. R. 14. ἐν δεξιᾷ om. 2, 3, e, m. εὐδοξιᾷ (sic). p. sec. m.

Inscriptio est in R, r, ρ. σοφιστῶν β.

15. περὶ τοῦ σοφιστοῦ Ἡρώδου. ρ, k. περὶ δὲ σοφιστοῦ Ἡρώδου. f. 16. δυσυπάτους. R, e. ib. ἐς τὸν. 1 et ρ ex corr. ἐς τὸ. β. ἐς τὰ. 2, 3, E. 17. ἄνδρες. β. ib. καὶ om. f. 18. ὁ μὲν — τροπαίων om. f.

20. ἡγούμεθα. ox. ἡγώμεθα om. E. 21. παγχαλέπων. 1. πάνυ χαλεπωτάτων. 2. πάνυ χαλεπῶν. 3, E. 22. δὲ ὡς τυφλὸν. R. δὲ καὶ ὡς τυφλὸν. 2. ib. ἐδόκει χρόνον. R. 23. Ἡρώδου. 1. Ἡρώδου γε. β, 2, 3, E. ib. δὲ. r. ib. εἰς ἔθνη. f. 24. τὸν om. f.

I, 26. II, 1, §. 1. p. 545. 546. 547. = 54. 55.